Ακαδημία Αθηνών / Academy of Athens

Ακροπολίτης, Κων/στ. Αχ

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ ...
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

2298

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

30

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

# ΕΓΚΩΜΙΟΝ

## ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΑΚΡΟΠΟΛΙΤΟΥ

ΚΑΙ ΜΕΓΑΛΟΥ ΛΟΓΟΘΕΤΟΥ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΚΑΙ ΘΕΟΣΤΕΠΤΟΝ ΒΑΣΙΛΕΑ

# ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΤΟΝ ΜΕΓΑΝ

ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΝ.

ΕΚΔΟΘΕΝ ΠΡΩΤΟΝ ΗΔΗ ΩΣ ΕΧΕΙ ΕΝ ΧΕΙΡΟΓΡΑΦΟΙΣ

ΥΠΟ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΣΙΜΩΝΙΔΟΥ

Ο

ΚΑΙ ΤΟΙΣ ΕΘΕΛΟΚΑΚΟΥΣΙ Τῼ ΕΚΔΟΤῌ Ο ΑΥΤΟΣ ΑΝΑΤΙΘΗΣΙΝ.

---

"Δεῖ πάντας ἀναγινώσκειν μετ' ἐπιστασίας παντὸς ἀνδρὸς ἐνδόξου βίον."

---

*Εὑρίσκεται ἐν Λονδίνῳ ἐν τοῖς Βιβλιοπωλείοις τῶν*

Κ. Κ. ΛΟΓΓΜΑΝΟΥ, ΒΡΑΟΥΝΟΣ, ΓΡΗΝ, ΚΑΙ ΛΟΓΓΜΑΝΟΥ.

͵ΑΩΝΓʹ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Aa
AKR

# THE PANEGYRIC

OF THAT

HOLY, APOSTOLIC, AND HEAVEN-CROWNED KING,

# CONSTANTINE THE GREAT,

COMPOSED BY

HIS HEAD LOGOTHETES

CONSTANTINE ACROPOLITI,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 3479
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ

FAITHFULLY COPIED FROM THE MSS.,

AND

NOW FOR THE FIRST TIME PUBLISHED,

BY

CONSTANTINE SIMONIDES,

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

WHO

DEDICATES THE WORK TO THOSE WHO BEAR THE EDITOR
NO GOOD WILL.

---

"The life of every eminent man ought to be read with deep attention."

---

LONDON:
LONGMAN, BROWN, GREEN, AND LONGMANS.

1853.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

LONDON:
PRINTED BY J. WERTHEIMER AND CO.
CIRCUS PLACE, FINSBURY CIRCUS.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ 3479
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΜΕΡΙΔΟΥ

# TO THE READER.

The author of the following remarkable memoir, or panegyrical discourse, now for the first time published, was Constantine Acropoliti, the father of George Acropoliti. He was born A.D 1161, and died in 1233; for further particulars of whom, *vide George Cyprian, the Patriarch of Constantinople; the Dissertations of Leon Allatius; and the Bibliotheca Græca of J. A. Fabricius* (vols. vi. and x.). The manuscript was discovered at Mount Athos, December, 1851 (during our third visit to that locality), in the library belonging to the monastery of Simon Peter, among several treatises upon ecclesiastical matters, hitherto unpublished. There are three MSS. of this memoir extant, written at different intervals. The first, which was discovered in the monastery of St. Denis,[1] was written in 1504, by Panareti a Hieromonach (an unmarried priest), of Thapsekinos; the second was found in the library belonging to the temple of Protatos, and was written in 1550, by Antony, a monk of Samos; and the third[2] (the

[1] The monasteries of St. Denis Protatos and Simon Peter, and indeed most of the monasteries on Mount Athos, have several times been rebuilt from their foundations: hence their name and site and form have undergone changes, as we have pointed out in the "Athoniad."

[2] The manuscript here spoken of, containing the Panegyric, is on paper: it consists of 1187 pages, and mentions various particulars of fifty-eight different individuals in their ecclesiastical capacity. At the end of this voluminous MS. appears the following memoran-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



one under our special notice) was written in 1585, by Cyrillus, a monk of Patara. These three manuscripts were carefully compared together, and found (with a few slight differences, which I have pointed out) to correspond in every respect.

The subject is the Life of Constantine the Great. The author (who rejoices in a similar name) commences with the birth, and ends with the death of that emperor. A short appendix follows, in which mention is made of many historical facts. The composition is remarkable for conciseness and elegance of diction.

The work now offered to the public is an accurate transcript of the original, including all its errors, even those of punctuation (of which there are many, arising from the carelessness of the copyists). They who are competent to the task will therefore use their own judgment, and make their corrections accordingly.

---

dum :—Τὸ παρὸν βιβλίον ὑπάρχει τῆς σεβασμίας μονῆς Σίμωνος-Πέτρας. Ἐγράφη δὲ διὰ χειρὸς Κυρίλλου μοναχοῦ Παταρέως ͵ΑΦΠΕ΄ (τῷ 7093 ἀπὸ κτισέως κόσμου). Γέγονε δὲ διὰ ἐξόδου καὶ συνδρομῆς τοῦ ὁσιωτάτου ἐν Ἱερομονάχοις κυρίου Κωνσταντίνου εἰς ψυχικὴν αὐτοῦ σωτηρίαν· καὶ οἱ ἀναγινώσκοντες αὐτὸ εὔχεσθε ὑπὲρ αὐτοῦ, κ.τ.λ.—"This book belongs to the venerable monastery of Simon Peter. It was written by Cyrillus, a monk of Patara, in the year 7093 from the creation of the world. It was undertaken and completed at the expense and with the concurrence of that most holy Hieromonach the Signor Constantine, for the salvation of his soul; and ye that read it are exhorted to pray in his behalf," etc. The price was fixed at 975 aspras. Many books have been written on Mount Athos by the indefatigable hand of this Cyrillus, who obtained his livelihood as a calligraphist, like many others, of whom some mention is made in the "Athoniad," which will shortly be published.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

# ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΑΚΡΟΠΟΛΙΤΟΥ
# ΕΓΚΩΜΙΟΝ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΚΑΙ ΘΕΟΣΤΕΠΤΟΝ

# ΒΑΣΙΛΕΑ
# ΚΩΝΣΤΑΝΤΙΝΟΝ

*ΤΟΝ ΜΕΓΑΝ.*[1]

*Ἀρά τις εὐσεβείας ζῆλον αὐχῶν, καὶ λόγων ἔχων ἰσχὺν, ἕτερον ἂν τιμῆσαι προθυμηθείη τοῖς λόγοις, καὶ ἐπ᾽ ἄλλῳ τῇ τέχνῃ χρήσασθαι ἕλοιτο· περιΐδοι δέ πως τὸν ἐν βασιλεῦσιν ὄντως ἀοίδιμον* Κωνσταντῖνον, *φημὶ, τὸν πάνυ, οὗ κλέος ἀληθῶς οὐρανὸν ἱκάνει, καὶ κλῆσις χθόνα πληροῖ; οὔμενουν· οὐ γὰρ εὔλογον·*[2] *τῷ τοι δὴ καὶ αὐτὸς εὐσέβειαν εἴ καί τις ἄλλος πλουτῶν, καὶ μόνῃ ταύτῃ θαῤῥῶν· λόγους τε καὶ παιδείαν φιλῶν· καὶ τοῦ παντὸς προτιθέμενος, τὸν τῆς εὐσεβείας τουτονὶ πρόμαχον, θερμόν τε τῆς ἀληθείας προστάτην καὶ κήρυκα* Χριστοῦ *διαπρύσιον, ἐγκωμίοις, ὡς εἰκὸς, τιμῆσαι βουλήσομαι, καὶ ὅση γε ἰσχὺς προθυμήσομαι.*

[1] Οὕτως *ἐν τῷ τῆς* Σιμωνό-Πετρας, *νῦν δὲ ἡμετέρῳ κώδηκι, ἔχει· ἐν δὲ τῷ* τοῦ Πρωτάτου "Κωνσταντίνου Ἀκροπολίτου Μεγάλου Λογοθέτου Ἐγκώμιον *εἰς τὸν ἅγιον καὶ* Θεόστεπτον Βασιλέα Κωνσταντῖνον." Ἐν *τῷ* τοῦ Διονυσίου *δὲ*, "Ὑπόμνημα Κωνσταντίνου Ἀκροπολίτου *καὶ* Λογοθέτου *τῶν γενικῶν εἰς τὸν ἅγιον καὶ θεόστεπτον βασιλέα* Κωνσταντῖνον *τὸν μέγαν καὶ ἰσαπόστολον.*" Τοῦ *ἐγκωμίου τούτου μνημονεύει καὶ ὁ ἐπὶ σοφίᾳ πολὺς* Νικόδημος (*ἴδε* Συναξαριστὴν 21 *μαΐου*)· *ἴσως καὶ ἄλλοι.* Σημ. τοῦ Ἐκδ.

[2] Ἐν *τῷ* τοῦ Πρωτάτου, "*οὐ γὰρ ἄλογον.*"



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



*Σὸν δὲ Θεοῦ Πατρὸς Ὑιὲ, συμφυὲς καὶ ὁμόδοξε, ἰσοσθενὲς παντοδύναμε, ᾧ τῷ τῆς ἰσχύος ὑπερβάλλοντι· ἅπαν ἄπορον πόριμον, ἅπαν ἀδύνατον ῥάδιον· ὃν, ὁ μὲν εἰς ἐγκωμίων οὗτος λόγον προκείμενος, τοῖς προτοῦ βασιλεῦσιν ἀγνοούμενόν τε καὶ ἀθετούμενον, καὶ ἐπέγνω καλῶς, καὶ προσετέθη θερμῶς. Καὶ αὖθις δὲ τοῦ Πατρὸς κακῶς διαιρούμενον τε καὶ βλασφημούμενον, ὁμοφυᾶ τῷ γεννήτορι· καὶ εἰ τῇ ὑποστάσει διαιρετὸν, ἀδιαίρετον τῇ φύσει· ταὐτὸν τε τῇ δυνάμει, τῇ βουλήσει, τῇ ἀγαθότητι· Τῷ γενναίῳ καταλόγῳ τῶν εἰς τριακοσίους ἀριθμηθέντων, μικρὸν δέτι καὶ πρός· καλῶς τε καὶ ὡς ἐχρῆν, καὶ συνωμολόγησε, καὶ συνεκήρυξε, καὶ τὸ καθ' αὐτὸν, τοῖς ὑφήλιον πᾶσιν ἐγνώρισε· Καὶ ὡς οἷον τε συμφρονεῖν τὴν οἰκουμένην εἴτουν ὀρθὰ φρονεῖν ἔπεισε, καὶ ὃν ὁ ἐγκωμιαστὴς ἔγω γε εἰ καὶ συχνὰ παροργίζω, ἀλλ' ἀκρεφνῶς λατρεύω, καὶ εὐσεβῶς προσκυνῶ, ὡς αὐτὸς οἶδας, ὃν λανθάνει τῶν ἁπάντων οὐδέν· σὸν δὴ, χάριν καταπέμψαι καὶ ἐνισχῦσαι πρὸς τὸ ἐγχείρημα· ἀλλ' ἄγε δὴ ῥωσθέντες καὶ ἡμῶν αὐτῶν κρείττους γενόμενοι, ὡς τὴν ἄνωθεν ἀναλαβόντες ἰσχύν· πάντα γὰρ, τὸ ἱερὸν φησὶ λόγιον, δυνατὰ τοῖς πιστεύουσι· τοῖς ἐγκωμίοις τοῦ μεγάλου τοῦδε τοῖς κατορθώμασι, θείοις τε φημὶ καὶ ἀνθρωπίνοις ὁμοῦ· ἔνθεν γὰρ οἶμαι καὶ μέγας αὐτῷ διαμεμένηκε τὸ ἐπώνυμον, θαῤῥούντως ἐπιβαλώμεθα· καὶ γάρ τις καὶ αὐτόθεν προσδοκία μοι συνάρσεως ἐπιγέγονεν, ἐξ αὐτῆς ὑποθέσεως, πρὸς[3] αὐτοῦ τοῦ δεχομένου τὸν ὑμνητήριον· καὶ πῶς δὴ τῷ θάρσει θάρσος προστίθεται τῷ μεγάλῳ οὐχὶ μικρόν· κᾀκ δυνάμεως ὡς εἰπεῖν πορεύομαι ἐπὶ δύναμιν· δυνάμει τε, δύναμις ὡς[4] ἀληθῶς αὔξεται. Καί τις ἂν εὐστόχως ἔνθα δὴ[5] τοῦ λόγου γενόμενος, δυναμοδύναμιν ἔφησε· τρόπον ἕτερον ἢ συντέθηταί τε καὶ εἴρηται· τὶ γὰρ εἰ συνεφάψαιτό μοι τοῦ ἔργου ὁ εὐφημούμενος, καὶ χάριν παρασχεῖν κατανεύσειε· καὶ τὸν περὶ αὐτοῦ λόγον κατὰ τὰ ἑαυτοῦ πάντα, μεγαλοπρεπέστερον ἐκτελεσθῆναι. Καὶ ὄντως ἑαυτοῦ ἄξιον ἐθελήσειε· πόσον ἂν εἴη τοῦτο, ἢ ποίαν οὐχ ὑπερβαίη τέχνης ἰσχύν· Ἀλλ' ἐπειδὴ διττὸς ὁ τρόπος τῶν ἐγκωμίων· ὁ μὲν γὰρ ἐκ τῆς τοῦ ἐπαινουμένου*

[3] Ἐν τῷ τοῦ Πρ., "πρὸ αὐτοῦ." [4] Διον. καὶ Πρ., "ἢ ἀληθῶς."
[5] Πρωτ., "ἐνθαδὶ."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τύχης καὶ τῆς ἀξίας· ὁ δ' ἐκ τῆς ἐξ ὧν προῆλθε καὶ τὴν ἀρχὴν ἔσχηκε, πόθεν ἄρα καὶ ἀπαρξόμεθα, ἢ πρὸς ποῖον ἂν ἀποκλίνωμεν[6] ἑκατέρου ἰσχυρῶς ἕλκοντος, καὶ πρὸς ἑαυτὸν μεταστρέφοντος; Οἵ, τε γὰρ προενεγκόντες, καὶ μέγιστοι καὶ περίφημοι, καὶ τὸν λόγον ἀρκοῦντες ἐπασχολῆσαι, καὶ πρὸς τὸν σκοπὸν οὐ τὰ μικρὰ συμβαλλόμενοι· καί γε αὖθις ὁ ἐξ αὐτῶν μηδενὸς μηδοπωσοῦν τῶν ἔξωθεν προσδεόμενος· πλήρης ὢν ἀληθῶς αὐτὸς ἐν αὐτῷ καὶ πλείστους αὐτόθεν ἐγκωμίων τόπους ἀναδεικνύς. Ἀλλ' ὃ μικροῦ με παρῆλθε, μείζω τὴν ἀπορίαν ἐνέβαλεν· εἰ γὰρ τοῖς κατὰ Θεὸν ἀνδράσι, καὶ τῷ ὄντι γε ἀνθρώποις, ἄλλη τις πρὸς ἀλήθειαν ἡ πατρὶς, ἣν δὴ καὶ ἔγνωσαν οὗτοι καλῶς, καὶ γνόντες, ἐπόθησαν, καὶ ποθήσαντες, τυχεῖν ἔσπευσαν, καὶ τυχόντες, ἐπανεπαύσαντο. Τὴν ἄνω λέγω μητρόπολιν, τὴν ἀχειροποίητον ἐκείνην καὶ θεότευκτον Ἱερουσαλὴμ, ἧς πολῖται θεῖοι προφῆται, πατριάρχαι θεσπέσιοι, βασιλεῖς τὸ χρίσμα οὐ καταισχύναντες, καὶ λοιπῶν ἄλλων οὐκ εὐαριθμήτων λογὰς, σεμνότερον πολιτευσαμένων καὶ ἐνθεώτερον. Εἰ γοῦν τοῖς τοιούτοις τοιαύτη ἡ πατρὶς, καὶ γενάρχαι τῇ πατρίδι κατάλληλοι· οἱ τὴν[7] οὐρανοὺς προωδευκότες καὶ εἰς ὁδηγοὺς χρηματίσαντες, καὶ κρείττονος βίου τοῖς μετ' αὐτοὺς καταστάντες ἀρχαίτυπα· καὶ συμφυλέται οἱ σύστοιχοι τὴν ἐντεῦθεν τάξιν καὶ τὴν ἐκεῖσε μονὴν, ἢ μᾶλλον πατὴρ αὐτοῖς ἀληθῶς ὁ ἄναρχος Θεὸς καὶ ἀγέννητος· Παρ' οὗ καὶ πρὸς ὃν ἅπαν λογικὸν δημιούργημα, τὴν ἀρχὴν ἔχει καὶ τὴν καθ' αὐτὸ κίνησιν· καὶ νόων ὑπερτέρα φύσις συγγένεια, ἡ πρὸς τοῦ πρώτου πρώτως τὰς ἐλλάμψεις δεχομένη φωτός· καὶ δεύτερον φῶς μετὰ τὸ πρῶτον τυγχάνουσα. Τῷ δὲ μεγάλῳ τῷδε τὴν κατὰ κόσμον ἀρχὴν, καὶ μεγίστῳ τὴν κατὰ Θεὸν βιοτὴν, καὶ ἅπερ ἡ τέχνη ζητεῖ πρόσεστιν ἄφθονα, καὶ τὰ τὴν τέχνην αὖ μὴ καταδεχόμενα· ὅσα τε καὶ οἷα πεφύκασι, λόγου κρείττω πεφήνασι, τί ἂν καὶ δράσαιμι, ἢ ποῖον ἑλοίμην τ' ἄλλα περιϊδών; μέσος γὰρ ὡσπερεὶ τούτων ὁ λόγος γινόμενος, καὶ πρὸς ἑκατέρου στεῤῥῶς ἀνθελκόμενος, ἐν ἀμηχάνῳ πῇ ἂν καὶ νεύσειε γίνεται· καὶ τίνος τ' ἄλλα παρεὶς ἅψαιτο; καὶ τρό-

[6] Ἐν τῷ τοῦ Πρωτ. κώδηκι, "ἀποκρίνωμεν."

[7] Πρωτ., "οἱ τὴν εἰς οὐρανοὺς," κ.τ.λ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



πος οὗτος ἀπορίας ἀνεφάνη καινότερος ἔμοι γε, οὐχ οἷς ἀφορμῶν εὐφημίας οὐκ εὐπορῶ, ἀλλ' οἷς πολλαῖς ὁμοῦ καὶ μεγάλαις ἐπιμερίζομαι. Ἀλλ' εὗρον ὃ ἂν ποιήσας παντελῶς τοῦ κατὰ πρόθεσιν οὐκ ἐκπέσοιμι· τοῦ μὲν περὶ τῶν θειοτέρων λόγου, τοῖς ὑψηλοτέροις καὶ θείοις καθάπαξ παραχωρήσαιμι· τοῖς λοιποῖς δ' ἐναπολειφθείην αὐτὸς, ὅσων γε ἐφικνεῖται τέχνην, καὶ λόγων οὐκ ἀπολιμπάνεται δύναμις, καὶ τούτοις ἐφ' ἱκανὸν φιλοχωρήσω καὶ ὡς ἐνὸν ἀγωνίσομαι.

Πατρὶς μὲν οὖν τῷ Μεγάλῳ, ἡ μὲν ἐξ αὐτῆς αὐτοῦ τῆς γεννήσεως ἡ τέως καλουμένη πως οὑτωσὶ ΔΡΕΠΑΝΟΝ, ἡ ἐσαῦθις λαμπρὰ ἙΛΕΝΟΠΟΛΙΣ·[8] περίπου τὸν ἈΣΤΑΚΗΝΟΝ κόλπον τυγχάνουσα, καὶ θέσεως εὖ ἔχουσα· κᾂν ὁ πανδαμάτωρ καὶ κατὰ ταύτης χρόνος, οὐ μέτρια δήπω νεανιευσάμενος, τὴν τέως εὐδαίμονα πόλιν, ἐρείπιον νῦν ἀφῆκεν ὁρᾶν· ὡς ἐκ μόνης δὴ τῆς περὶ τῶν ἀρχαιοτέρων ἱστορίας, πόλιν ταύτην γνωρίζεσθαι. Ἡ δ' ἐκ τῆς τῶν πατέρων καὶ προγόνων διατριβῆς, ἡ παλαιτέρα Ῥώμη, τὸ λαμπρὸν τῶν αὐσόνων ἀρχεῖον, τὸ περιφανὲς τῆς οἰκουμένης βασίλειον. Ἡ δ' αὖ ἐκ τῆς ἀρχῆς ὁριζομένη, κᾀκ τοῦ δέοντος ἀναφαινομένη, καὶ ἵν' οὕτω φαίην ἰδιουμένη τοῦτον κοινότερον, ἑῴα τε λῆξις καὶ ἡ ἑσπέριος, αἱ εἰς Ἀσίαν καὶ Εὐρώπην μεγαλομερῶς διαιροῦσαι τὴν ἤπειρον· πατὴρ γὰρ ἔνθεν, μήτηρ δ' ἐκεῖθεν ἦσαν γενόμενοι. Ἀλλ' ἴσως ἡ νεωτέρα Ῥώμη, μακρῷ δὲ τιμιωτέρα, τῷ μεγέθει, λέγω, τῇ θέσει, ταῖς χάρισι, τῷ καθ' ἁπασῶν ἐντεῦθεν πρεσβείῳ, καὶ λαμπρῷ ἀξιώματι· Ἡ ἐπώνυμος τοῦδε καὶ μεγαλόνυμος· ἴσως οὖν αὕτη τοῖς λόγοις, ὡς εἰκὸς, δυσχεράνειεν· ἄλλαις τὸν πολιστὴν, ἄλλαις τὸν πολίαρχον ἐπιγράφουσιν, ἀλλὰ μὴ τοῦτο, μή· φιλόπατρις γὰρ ἔγω γε, καὶ φιλαλήθης οὐχ ἥκιστα· καὶ τὰ πρῶτα ταῖς πρώταις ἀπονείμας· πρώταις δὲ λέγω διὰ τὸν χρόνον, ἐπείτοι γε τοῖς ἄλλοις παρὰ πολὺ δεύτεραι, τηρήσω ταύτῃ τὰ δεύτερα· καὶ κατὰ τὴν παροιμίαν "ἀμείνονα." Ἀλλ' οὕτω μὲν ὁ μέγας οὗτος καὶ μεγαλόπατρις, ἵν' οὕτως εἴποιμι καὶ πολύπατρις· πλὴν ἐξ εὐτυχίας οὐκ ἀτυχήματος. Τὸ γὰρ δὴ περί του, φημιζόμενον, Ἕλληνος ποιητοῦ· ὁ ῥαψωδὸς οὑτοσὶ ὍΜΗΡΟΣ, ὡς πόλεις ἑπτὰ

[8] Ἐν τῷ τοῦ Πρωτάτου, "Ἑλληνόπολις."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



μάρναν ἑκάστη τοῦτον μεγαλαυχοῦσα προσενεγκεῖν, οὐκ ἄλλοθεν, ἔμοι γε δοκεῖν, ἀλλ' ἐκ δυστυχίας ἐπισυμβῆναι, ἀφανείᾳ τῶν γεννητόρων· ἴσως δὲ καὶ πατρίδος εὐτελείᾳ. Τὸ μὲν παρὸν, λόγου μὴ κριθέντων ἀξίων· τὸ δ' εἰς νέωτα ζητουμένων, διὰ τὸν πολὺν ἐν λόγοις αὐτοῦ θρύλλον, καὶ τὴν ἔμπνουν ὡσπερεὶ καλλιέπειαν, ἣν ὁ τῶν κατ' αὐτὸν ποιητῶν ὅμιλος, Καλλιόπην ἐσεμνηγόρησε. Κἀντεῦθεν κατὰ τὸ δοκοῦν ἑκάστῳ ἱστορουμένων, ἢ πλαττομένων εἰπεῖν ἀληθέστερον· ἔνθεν γὰρ γεννᾷ καὶ ποταμὸς ἄνθρωπον· τάχα διὰ τὴν τῆς σοφίας πολύνοιαν, καὶ τὴν τῶν λόγων ὡς εἰπεῖν εὔροιαν ὁμοῦ καὶ πολύῤῥοιαν; οὐράνιά τε ζώνη, ἣν ὁ μέσος κατέχει τῶν πλανητῶν, ὁ τὴν τοῦ λοξίου μέσην, ζωηφόρον τοῦτον οἱ περὶ τὰς τῶν ἀστέρων κινήσεις ἐσχολακότες κατωνομάκασιν· ὁμαλῶς τε καὶ ἀπλανῶς, ἵν' οὕτως εἴπω περιϊὼν, ψυχὴν συχνὰ τῷ τέως περιαγαγοῦσα, καὶ οἷον ἐκσφενδονήσασα, τοῖς ἐνθάδε καθίησι· τὴν ἐναρμόνιον φαῖεν ἂν, ἐκεῖνοι διὰ τὴν ποίησιν· οἱ δὲ τῆς ἀληθείας ἀληθῶς ἀντευχόμενοι, τὴν ῥεολόγον, ἢ κενολόγον ψυχὴν, τὴν δεξιῶς περὶ μύθους στρεφομένην καὶ πλάσματα, καὶ τῷ τῆς ἀληθείας προσωπείῳ τὸ ψεῦδος ἐπηλυγάζουσαν, καὶ τἀναντία εὐφυῶς τῷ δοκεῖν συνάπτουσάν τε καὶ συναρμόττουσαν. Ἀλλὰ χαίρειν εἰπόντες αὐταῖς μεγαληγορίαις, ἢ μυθολογίαις τοῖς Ἕλλησι, τοῦ προκειμένου αὖθις γενώμεθα· κἀπὶ τοὺς ἐξ ὧν ὁ μέγας οὗτος γεγένηται, τὸν λόγον ἄγε δὴ στρέψωμεν.

Πατὴρ μὲν τούτῳ Κώνστας, περιφανὴς τὸ γένος· εἰς γὰρ Κλαύδιον εὐκλεᾶ βασιλέα τὸ γένος ἀνέφερε· παραπλησίου δέπως καὶ τοῦ κήδους ἠξίωται· καὶ πλεῖστον ἔνθεν τῆς οἰκουμενικῆς ἀρχῆς ἐγκεχείρισται, ὁ σταθερὸς κατὰ τὴν κλῆσιν· οὐκ ἐν μάχαις μόνον καὶ πολέμοις ἀναφανεὶς, ἀφ' ὧν δὴ συχνάς τε καὶ λαμπρὰς τὰς νίκας ἀνείλετο, καὶ περιφανῆ λίαν ἔστησε τρόπαια, ἀλλ' ἐφ' ἁπάσαις αὐτοῦ πράξεσι, τὸ στεῤῥὸν παραστήσας καὶ βεβηκὸς τοῦ φρονήματος· πρεσβείας τε γὰρ ὑφ' ἑτέροις ἔτι τῶν πραγμάτων ὄντων, μεγάλας μεγαλοπρεπῶς ἄγαν μετεχειρίσατο, καὶ λαμπραῖς συνήγαγε τὴν οἰκουμένην συμβάσεσιν· Ἄλλα τε διάφορα δεόντως ἐπολιτεύσατο· τὸ δὲ μεῖζον πρὸς περιφάνειαν· καὶ ᾧ δὴ κἀκεῖνος μεῖζον ἐφρόνει καὶ ὡς εἰκὸς ἐπη-

Ακαδημία Αθηνών / Academy of Athens



γάλλετο, τὸ καθαρὸν εἰς Χριστὸν σέβας, ἡ θερμὴ πρὸς τοὺς αὐτοῦ προσκυνητὰς ἀγάπη, καὶ χρηστοτέρα διάθεσις· τῆς αὐξήσεώς τε τούτων καὶ ἀναδείξεως, διάπυρος ἔφεσις, ὃ καὶ δηλον μᾶλλον πεποίηκε, πνέων ἤδη τὰ λοίσθια· τῷ υἱοῖ καὶ κληρονόμῳ, τῷ μεγίστῳ δὴ τούτῳ καὶ ἐκ μεγάλων, τοῦτο πρὸ τῶν ἄλλων ἐπιμελῶς ἐπισκήψας, διαῤῥήδην οὕτως εἰπών· "κήδου Χριστιανῶν, φίλει τούτους, τὰ εἰκότα περίεπε, καὶ ἀνθ' ὧν τέως δεινῶν πρὸς τῶν ἐπὶ τοῦ κράτους πεπόνθασιν, ὅση περ' ἰσχὺς εὖ ποίει, καὶ δεξιαῖς ἀμείβου ταῖς δωρεαῖς· οὕτω γὰρ ἴσθι μέγας τε ἐπὶ γῆς, καὶ μείζων ἀναφανήσῃ ἐν οὐρανοῖς." Τοιοῦτος ἦν ὁ πατὴρ, ὡς ἐξ ὀλίγων πολλὰ δηλῶσαι, κἀκ μετρίων μεγάλα, καὶ ἐξ ὀνύχων, ὅ,φασι, παραστῆσαι τὸν λέοντα. Μήτηρ δὲ, ἀλλὰ τίς ἂν διεξιέναι τὰ ἐκείνης πρὸς ἀξίαν ἰσχύσειε; μόλις ἂν καὶ Ἡροδότου γλῶττα ὡς δεῖν ἀναγγεῖλαι τὰ περὶ ταύτης ἐξίκετο, ἢ Θουκυδίδου μᾶλλον μεγαληγόρου τε ἅμα καὶ φιλαλήθους, καὶ ἱκανοῦ μεγάλα μεγαλοπρεπῶς διηγήσασθαι· ἣ κᾂν εἰμὴ ἐξ ἄγαν ἐγεγόνει περιφανῶν, μηδ' ἐσχήκει τὴν τύχην συνεργοῦσαν τὰ πολλὰ πρὸς ἀνάδειξιν. Ἀλλ' αὐτὴ γ' ἑαυτῇ πρὸς περιφάνειαν καλῶς ἄγαν ἀπέχρησε· φύσει γὰρ γενομένη καλὴ, πολλῷ καλλίων ἐφάνη τῷ κόσμῳ τῶν ἀρετῶν. Τῷ εὐγενεῖ δῆτα τῆς ψυχῆς παραστήματι, τῷ εὐσταθεῖ τοῦ ἤθους, τῷ μεγαλοπρεπεῖ τῆς γνώμης, καὶ καθάπαξ τῷ τοῦ φρονήματος γενναίῳ καὶ ὡς ἀληθῶς ἀνδρικῷ· περὶ οὗ τί χρὴ καὶ λέγεν οὕτως ἐκ παρόδου; περὶ δὲ τοῦ κάλλους καὶ τῆς φυῆς, τῆς τε λοιπῆς εὐκοσμίας καὶ ὡραιότητος, τοῦτο μόνον ἐρῶ· ὡς μόνη ἐκ τῶν Ἀσίᾳ καὶ ὅσην ἐς Περσίδα ἐλαύνων ὁ περίπυστος διεληλύθη Κώνστας, ἐνεκρίθη τε καὶ ἐστέρχθη τὰ μάλιστα, καὶ λέχους αὐτῷ κεκοινώνηκε. Καί γε αὖ ἐπὶ Ῥώμην μετακληθεῖσα τούτῳ σεμνῶς, τοῖς ἀνακτόροις λαμπρῶς ἐγκατῴκισται, καὶ βασιλικῆς οἰκουρίας ἠξίωται· τὸ γὰρ καὶ τὸν ἐξ αὐτῆς προκριθῆναι τὸν μέγαν τουτονὶ Κωνσταντῖνον, τὸν θαυμάσιον ἀμφοῖν γόνον, καὶ προταγῆναι τῶν ἐκ τοῦ αὐτοῦ ὁμαίμων ὑπὸ πατρὸς, καὶ μόνον ἐγχειρισθῆναι τὰ σκῆπτρα, καὶ τὴν ἀρχὴν ὁλοσχερῶς διαδέξασθαι· τοῦτο τοῖς αὐτοῦ δικαίως ἐπιγραπτέον πλεονεκτήμασι, καὶ θαυμασίοις ὡς εἰκὸς προτερήμασι σωματικοῖς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τε ἅμα καὶ ψυχικοῖς, δι' ἃ καὶ μόνον ὀφθεὶς ὡς μετὰ τῆς μητρὸς ἐπεδήμησεν· Ἰωσήφ τις ἄλλος καθαπερεὶ ὑπὲρ τοὺς ἄλλους ἠγαπήθη, καὶ ἐπιμελεστέρας ἠξιώθη τροφῆς τε καὶ ἀγωγῆς, καὶ λαμπρᾶς τῆς θεραπείας τετύχηκε· καὶ γὰρ δὴ καὶ παιδευτὰς τούτῳ ἐπέστησεν ὁ πατὴρ, τὰ πρῶτα τῶν ὑπ' αὐτῷ φέροντας, ὡς ἂν γε χρηστὸν ἅπαν ἐκπαιδευθείη, καὶ τῇ ἐκ φύσεως δεξιότητι καταλλήλου τύχῃ καὶ τῆς παιδεύσεως· ἀμέλειτοι καὶ μεγαλοπρεπῶς ἄγαν ἐτρέφετο, καὶ βασιλικῶς ὄντως ἀνήγετο. Ἀλλ' ὢ οἷον μικροῦ παρήλθομεν ἀνιστόρητον, τὸ ἐπὶ τῇ συλλήψει τοῦ μεγάλου τοῦδε φημὶ σύμβολον· θεῖον ὂν ἀληθῶς καὶ διὰ θεοῦ σημανθὲν, τὴν εὐσαῦθις τοῦ γεννησομένου σαφῶς προδεικνύον λαμπρότητα, καὶ λάμψιν τοῦδε παγκόσμιον· ἐπεὶ καὶ τοῦ κόσμου, κατὰ Παῦλον, φῶς ἐχρημάτισεν ὁ λαμπρὸς οὗτος τοῦ Χριστοῦ κῆρυξ, καὶ τῇ λογάδι τῶν Ἀποστόλων ὡς ἀληθῶς ἐναρίθμιος, ᾗ καὶ προστεθεὶς· τοῦτο γὰρ καὶ Παῦλος τοῖς ἕνδεκα, τρισκαίδεκα πεποιήκει τοὺς δυοκαίδεκα· ἔνθεν τοι καὶ τρισκαιδέκατος μὲν αὐτὸς ἀνηγόρευται· ἀντὶ δὲ δυοῖν κορυφαίων τρεῖς ὅ, τε Χριστὸς ἥ,τε Χριστοῦ ἐκκλησία πεπλούτηκε. Πέτρῳ γὰρ καὶ Παύλῳ καὶ Κωνσταντῖνος τὸ ἐξ ἐκείνου, συναριθμεῖται τε καὶ συνεξακούεται, ὃς στύλος τις ἀνέσχεν οὐρανομήκης ἐμπύριος, καὶ πρὸς σωτηρίαν, ἣν ἐνανθρωπήσας ὁ Θεὸς ἐπηγγείλατο, καλῶς πάντας διΐθυνε, καὶ πρὸς οὐρανὸν τοὺς ἐπὶ γῆς εὐθυπορεῖν καθωδήγησε. Τὸ δὲ ΣΥΜΒΟΛΟΝ, ἔδοξεν εἰς ὁμιλίαν Ἑλένης ἐλθόντι τῷ Κώνσταντι, νὺξ δὲ ἦν· τὰ γὰρ ὑπὸ γῆν ὁ ἥλιος περιώδευεν, ἔδοξεν οὖν αἴφνης τὸν ἥλιον καταυγάσαι τὴν οἰκίαν ἐφ' ᾗ συνῆσαν, μέσου ἐξανασχόντα τοῦ τέγους, ὃ καὶ δέους αὐτὸν πίμπλησι· μέγιστά τε ὑποτοπάσαι ποιεῖ, περί τε αὐτῆς Ἑλένης καὶ τοῦ ἐξ αὐτῆς εἴπερ δὴ καὶ συνείληφεν. Ἐνθέντοι καὶ ἅμα ἕω[9] καὶ πρὸ αὐτῆς δὲ μᾶλλον τῆς ἕω, τὸν κηδεστὴν μεταπέμπεται, καὶ συχνὰ ὑπὲρ τῆς παιδὸς ἐπισκήπτει, πλεῖστα τούτῳ ἐπιμετρήσας τὰ χρήματα, ὡς ἂν παντοίας αὐτήν τε ἀξιοίη τῆς ἐπιμελείας καὶ φυλακῆς, καὶ οὐχ ἥκιστα τὸ γεννηθησόμενον· εἴπερ ἄρα καὶ ἔστι τῇ ἐπ' αὐτῇ, καὶ τὴν φῶς λάχοι πρόοδον, καὶ ὃς τὸ ἀπ' ἐκείνου ποιῶν, οὕτως ἦν· μάλα περιέπων τὴν

[9] Ἐν τῷ τοῦ Πρωτάτου, "ἔσω."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἔγγονον, καὶ οὐχ ἧττον αὖθις τὸν ἔγκονον· καὶ ἄλλως ἀστεῖον ὄντα κατὰ Μωσέα τὸν μέγαν· ἔτι θηλῆς καὶ αὐτὸν προσδεόμενον, ἔτι φωνῆς στερισκόμενον. Καὶ τοσοῦτον τὸ ἐπαγωγὸν αὐχοῦντα, ὡς μὴ ὅτι γνησίους, ἀλλὰ καὶ τοὺς μηδ' ὁτιοῦν προσήκοντας, περικαῶς φιλεῖν ἕλκοντα· ἀλλ' ὑπὸ μὲν τῷ μητροπάτορι οὑτωσί πως ἀναγόμενος ἦν, ὡς δὲ καὶ ἀνηγγέλη τὰ περὶ αὐτοῦ τῷ πατρὶ· καὶ μετὰ λαμπρᾶς ὅτι δορυφορίας, καὶ πλείστης ἀποσκευῆς, μετάπεμπτος σὺν τῇ μητρὶ γέγονεν. Ἐκ πρώτης εὐθὺς προτιμᾶται τῶν ἀδελφῶν, καὶ περὶ πλείονος τῷ πατρὶ γίνεται. Τί δ' ἐπὶ τούτοις τὸ τῶν παθῶν κάκιστον ὁ φθόνος· ὁ τοῦ πικροῦ Σατᾶν, σύμφυτος ὄντως ἰὸς· δι' ὃν οὗτος ἡμῖν ἐπεβούλευσε· καὶ ἐπιβουλεύσας, φεῦ! ἐφάρμαξε τὰ ἀνίατα· καὶ δι' ὃν ἡμεῖς νενοσήκαμεν τὰ ἀνήκεστα· ἐῶ γὰρ λέγειν ὡς πεπτώκαμεν ἀνήγερτα, καὶ θάνατον ὑπέστημεν τὸν ἀθάνατον· ἐξ οὗ Θεὸς ὁ μόνος κατὰ φύσιν ἀθάνατος καὶ ἀΐδιος, τῷ μεγάλῳ μυστηρίῳ τῆς καθ' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν οἰκονομίας ἀνεκαλέσατο, καὶ πρὸς ζωὴν ἄτρεπτον ἐπανήγαγε, καὶ φθορᾶς ἁπάσης ἀνωτέρους διέθηκε. Τί καὶ νῦν τὸ δεινὸν τουτὶ πάθος ποιεῖ· φύσιν ἔχον τοῖς καλοῖς ἐπιφύεσθαι, καὶ τούτῳ δεινῶς ἐπιβουλεύει· πόῤῥωθεν ἀφωρισμένῳ, κοινῷ τῆς οἰκουμένης χρηματίσαι καλῷ. Ἀλλ' οὔμενουν οὐκ ἴσχυσέ τι τὸ παράπαν δηλήσασθαι· ξυνίησι γὰρ τῆς κατ' αὐτοῦ σκέψεως ὁ πατὴρ ἀγχίνους εἰ καί τις ὤν. Τάχα δὲ καὶ ἄνωθεν εἰ καὶ μὴ χρηματισθεὶς, ἀλλὰ σοφισθείς· Καὶ εἰ μὴ ἀπαγαγεῖν ὡς τὸν Δεσπότην ὑπὸ Ἡρώδου ζητούμενον, ἀλλ' ἐκπέμψαι καὶ τῶν ἐπιβουλευόντων πάσῃ ἐκθέσθαι σπουδῇ, τὸν γνήσιον μὲν αὐτοῦ δοῦλον· τῆς δὲ ἰδίας αὐτῷ κληρονομίας δεσπότην ἐξειλεγμένον καὶ προγενέσεως. Τοῦτο δὴ καὶ γενόμενον, ἡ Νικομήδους, πόλις αὕτη τὰ πρῶτα τῶν Βιθυνῶν φέρουσα, τὸν μέγαν τουτονὶ δέχεται. ἵνα γε διατρίβων, παιδείᾳ τε ἐνασκεῖται καὶ γυμνασίᾳ, νέῳ προσηκούσαις καλῷ· εὐθυνοῦσα γὰρ ἡ πόλις κατ' ἐκείνου καιροῦ δεξιοῖς γυμνασταῖς καὶ σοφοῖς διδασκάλοις ἐτύγχανεν· ὅτε δὴ καὶ τὸ τῆς φύσεως αὐτοῦ δεξίον ἀνεφάνη· ὡς γὰρ σπόγγος τις εἰς ὕδωρ πρὸς τὴν τῶν μαθημάτων ἀνεδείχθη ἀνάληψιν, ἃ μὲν περιλαμβάνων καὶ πρὸ τοῦ ἐντελῶς ἀκροάσασθαι, ἃ δ' αὐτίκα τῷ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἐπιέναι ἀναματτόμενος, καὶ μνήμης ταμιείοις ἀποτιθέμενος· πρὸς δὲ τοὺς γυμνικοὺς ἀγῶνας καὶ τὰ παλαίσματα, λύγος τίς δεικνύμενος εὐφυής τε καὶ εὐπερίστροφος. Οἶδα μὲν, ὡς οὐ προσήκοντα τάδε τῷ μεγάλῳ τούτῳ πρὸς εὐφημίαν, εἰμὴ καὶ λίαν ἀπάδοντα· καὶ πῶς γὰρ οὐ; τῷ εὐθὺς ἐξ ἀρχῆς, παντὸς μὲν ὑπερτέρῳ σωματικοῦ, καὶ τῶν ἀΰλων μόνων καὶ θείων σχόντι τὴν ἔφεσιν· πλὴν εἰ διεξιέναι τις ἠβουλήθη καθ' ἕκαστον· ἔχων τῇ βουλήσει παρισουμένην τὴν δύναμιν· μύθους μὲν ἂν καὶ πλάσματα, ὃ δὴ καὶ πεφήνασι, πάνθ' ὁμοῦ τὰ τῆς ῥαψῳδίας ἀπέδειξε. Τῆς δὲ τῆς ἡμετέρας καὶ ἀληθοῦς ἱστορίας, τῆς παλαιτέρας ἐκείνης φημὶ, τῆς περὶ γενναίων καὶ ὀνομαστῶν διεξιούσης ἀνδρῶν· πλεῖστα ἂν εἰς πίστωσιν τῶν δι' ὑπερβολὴν ἀμφιγνοουμένων, συνεβάλετο· τίνα δὴ λέγω; τὰ τοῦ Σαμψὼν ἐκείνου, τὰ τοῦ Δαυῒδ ἀγωνίσματα, τὰ γενναῖα τούτων παλαίσματα· καὶ μαρτυροῦσιν αἱ κατ' Αἴγυπτον καὶ Παλαιστίνην ἀριστεῖαι· ὅτε δὴ Διοκλητιανῷ τε καὶ Μαξιμιανῷ ξυστρατεύσας, καὶ τῶν φαλάγγων γεγονὼς πρόβολος, μεγάλα τῷ ὄντι καὶ θαυμαστὰ διεπράξατο. Ἀλλὰ πάλιν ὁ φθόνος ἐποφθαλμίζειν, καὶ πάλιν ἡ κακία κατὰ τῆς ἀρετῆς διανίσταται· συγκροτεῖται γὰρ αὖθις πονηρὸν διαβούλιον, καὶ σκευωρία δεινὴ συσκευάζεται, καὶ φόνος λαθραῖος οἰκονομεῖται κατὰ τοῦ μηδένα μηδὲν ἀδικήσαντος· οὐδὲ γὰρ εἶχε φέρειν ὁ πονηρὸς τοιούτου καλοῦ προκοπήν· ὅσον οὐδέπω φαντάζουσαν τὴν ἰδίαν τούτῳ καταβολήν. Μαντευομένοις οὖν τοῖς ἐν τέλει καὶ πυνθανομένοις περὶ αὐτοῦ, βασιλεύσειν τε χρησμωδεῖ, καὶ λαμπρῶς ἀνακηρύξειν τὰ τοῦ Χριστοῦ. Τύνοιν δὴ καὶ ὑπὲρ ἀμφοῖν τοῦ δευτέρου δὲ μάλιστα, μαίνονται κατ' αὐτοῦ· καὶ φωνῶσιν, ἢ λυσσῶσιν ἀκάθεκτα· ἀλλὰ φωρᾷ τὸν δόλον πρὶν ἢ συσκευασθῆναι, τῇ τοῦ παναλκοῦς φρουρούμενος δεξιᾷ, συνορᾷ τὴν μελέτην, καὶ διαδιδράσκει τὸ δεινὸν, συνετώτατα. Τῆς γὰρ Νικομήδους ᾗ τάχος ἀπάρας, παρὰ ταῖς πρὸς ἑσπέραν Γαλλίαις ἔνθα καὶ ἦν διατρίβων ὁ πατὴρ, γίνεται· ἄσμενος ἀσμένῳ ἐπιφανείς· Καὶ γὰρ δὴ καὶ παρὰ τὴν τελευταίαν ἀποδημίαν ὄντα κατέλαβε, δι' ἐφέσεως ἰδεῖν ἔχοντα· γλώττῃ τε περιφέροντα καὶ ὀσῶραι ἀνακαλούμενον· ὡς ἂν ἔτι γε περιὼν τῷ ἐξόχως φιλουμένῳ, φθάσας τὰ τῆς ἀρχῆς



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἐγχειρίσειε, καὶ τὰ κατὰ βούλησιν ἐπισκήψειε. Τἄτ' ἄλλα ὑπὲρ τοὺς ἄλλους ὄντι καὶ πήχει νικῶντι, τὸ τοῦ λόγου βασιλικῷ· τῆς τε εἰς Χριστὸν ὁμολογίας εὖ ἔχοντι, κἀντεῦθεν καθ' ὑπερβολὴν ὑπερφέροντι. Ἀλλ' οὕτω μὲν οἰκονομίᾳ θειοτέρᾳ καὶ κρείττονι· εἰς Γαλλίας ἐκ Βιθυνῶν ὁ μέγας ἔφθη γενόμενος· καὶ οὕτω τῶν τῇδε μεθιστάμενος Κώνστας, ὁ τὸν ὑπὲρ Χριστοῦ ζῆλον πολὺς, καὶ τῷ ὄντι τοιοῦδε τῆς εὐσεβείας προστάτου, πατὴρ ἄξιος, τῷ ὁμόφρονι τὰ τῆς ἀρχῆς, ἐμπαρέθετο· καὶ τὰ κατὰ γνώμην εὖ ποιῶν, ἐνετείλατο. Τά δ' ἦν ὡς ἔφην ὑπὲρ Χριστοῦ γνησίων προσκυνητῶν. Ἀλλ' ἐντεῦθεν οἱ ἀγῶνες, καὶ ἀγώνων οἱ μέγιστοι· τρόπαια γὰρ τοῦ μεγάλου ἀθρόατε καὶ μεγάλα, ἡμῖν ἔπεισι καὶ οὐχ ὅτι μεγάλα, ἀλλ' ἄγε δὴ καὶ διάφορα· ἐγκόσμιά τε προσφόρως φάναι καὶ ὑπερκόσμια· πρὸς γὰρ τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας, τοὺς φαινομένους, τοὺς ἀφανεῖς, τοὺς χθονίους τοὺς ἀστερίους, ἀντικαθίσταται, οὓς ὁμοῦ πάντας θεοῦ, συναραμένου, κατηγονήσατο· Ἔστι μὲν, οὓς αὐτῶν ἀφανισμῷ παραδοὺς τελέῳ. Ἔστι δὲ, οὓς ἐκ ποδῶν ποιησάμενος· κοινῇ δὲ τοὺς ἀντιπαραταξαμένους πάντας καταστρεψάμενος, καὶ τῶν παραλόγων, ἢ παραβόλων ἀναχαιτίσας ὁρμῶν καὶ βουλήσεων· ἃ δὲ παρὰ τὴν ἀρχὴν εὐθὺς συνηντίκει, οὔμενουν παρελθεῖν δίκαιον· οὐκ ἔφθη τὰ τοῦ κράτους διαδεξάμενος, καὶ μανθάνει Πέρσας συχνὰς τῶν Ῥωμαϊκῶν καταδραμόντας χωρῶν, καὶ λεῖαν, τὸ τοῦ λόγου πεποιηκότας Μυσῶν. Ἀλλὰ τί τοῦ μεγάλου· τὶς ἂν ἐπαινέσειεν ἐνθαδὶ τοῦ λόγου γενόμενος; ἢ τίνος τοῦτον μᾶλλον ἀγάσαιτο· τοῦ τῆς ψυχῆς ἀνδρείου; τοῦ εὐσταθοῦς παραστήματος; ἢ τῆς εἰς Θεὸν πεποιθήσεως, καὶ τῆς ἐντεῦθεν, καὶ προπαρασκευῆς ἀξίας ἐπιχειρήσεως· οὐ γὰρ δὴ τὸν νέον εἰς ἀρχὴν ἀνέκοψέ πως αὐτῷ τὴν ὁρμὴν· οὐ τὸ, συχνὰς ἀναστάτους γενέσθαι τῶν πόλεων, καὶ τῶν περιφήμων αὐτῶν· οὐ τὸ, συχνὰς ἀναστάτους γενέσθαι τῶν πόλεων, καὶ τῶν περιφήμων αὐτῶν· οὐ τὸ, μυριάδας ὅσας ἀνδραποδίσασθαι τοὺς ἐχθροὺς· οὐδὲν οὐδόλως τοῦ θάρσους ἀνέστειλεν, ὡς ἀναβολὴν τινα δοῦναι τῷ πράγματι, καὶ σκέψει τινὶ τὰ τῆς ἐγχειρήσεως ὑπερθέσθαι. Ἀλλ' ἄρας τὸν στρατὸν εἰ καὶ πολὺν ἄλλως· εἰς γὰρ χιλιοστύας τὸ συλ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



λεγὲν εἴκοσιν ἠρίθμησαν· ἀλλ' οὐ μενοῦν ἀξιόλογον πρὸς τοσούτων καὶ οὕτω ταῖς νίκαις ἐπαρθέντων ἀντιπαράταξιν, ἔξεισι. Θεῷ τὰ τοῦ πράγματος ἀναθεὶς, ᾧ καὶ προσανέχων διαπαντὸς, εὔελπις ἐφ' ἅπαντι ἦν. Ἐπεὶ δὲ καὶ ἐσκήνωσεν ἐν αὐτῷ τῶν ἐναντίων σταθμῷ, ὡς βραχὺ τῶν στρατοπέδων εἶναι τὸ μεταξὺ, καὶ τὸ μεταίχμιον οὐ πολὺ, ὁ μὲν τῇ κατὰ συστάδην μάχην θαῤῥῶν, ἐν Χριστῷ τῶν πολεμίων κατέλυσεν· οὐ λάθρα τοῖς ἐχθροῖς ἐπιπεσεῖν ἀνεχόμενος, ὡς κλέψαι τὴν νίκην· ὃ καί τις τῶν πάλαι βασιλέων ἀπηξίωσεν ἑαυτοῦ· λωποδύτου τοῦτο κρίνας, ἢ καὶ λῃστοῦ. Τὴν δ' ὑστεραίαν ἀναμένων ὡς φανερώτερον ξυμβαλὼν, τὸ τρόπαιον στήσει περιφανέστερον· οἱ δέ γε Πέρσαι, ἀνδρείας μὲν γὰρ ἀληθοῦς ἐστέρηντο· δόλου δὲ καὶ περινοίας αὐτοῖς περιῆν, ἐπιθέσθαι πρὸ ὥρας τῷ βασιλεῖ διεσκέψαντο, καὶ τοῦ κατὰ βούλησιν οὐκ ἠστόχησαν· τοῖς γὰρ σκοποῖς περιτυχόντες μετρίοις τε οὖσιν· εἰς γὰρ σκοποὺς ἐξειλέχατο· καὶ ἀπαρασκεύοις ἄλλως παρευρεθεῖσι· τούτοις μὲν σπάθης ἔθεντο πάρεργον, τοῖς δὲ περὶ τὸν βασιλέα ἐπιπεπτωκότες, τὰ μεγάλα διαπεπράχαται· οὓς μὲν γὰρ σφάττουσιν ἀπροόπτως ἐπιτεθέντες, οὓς δὲ καὶ ζωγροῦσιν. Ἀλλ' ὢ κριμάτων Θεοῦ, ὢ δοκιμῆς πρὸς τοὺς ἀγαπῶντας αὐτόν· καὶ κατὰ τὸν θεῖον εἰπεῖν Παῦλον ἐγνωσμοὺς αὐτῷ, ἢ τὸ τοῦ Κυρίου μᾶλλον ἐρεῖν, τῶν γινωσκόντων αὐτὸν, ἴδιοι γάρ· καὶ ὑπ' αὐτοῦ γινωσκομένων, ἐπείτοι γε οὐκ ἀλλότριον· πειράζει γὰρ καὶ τούτους λόγοις ἀποῤῥήτοις ἡ τὰ πάντα διοικοῦσα καλῶς πρόνοια· ζωγρεῖται καὶ ὁ τοῦ Κυρίου χριστὸς· ὁ τὰ πάνθ' οὗτος χρηστὸς βασιλεύς· καὶ κατὰ τὴν αὐτοῦ καρδίαν ὡς ὁ Δαυῒδ καὶ αὐτὸς εὑρεθεὶς, καὶ κατὰ γνώμην τὴν ἀρχὴν πιστευθείς· καὶ τοῖς ἑξῆς προσβῆναι μὲν ὁ λόγος ὀκνεῖ· οὐκ ἔχων δ' ὅτι καὶ δράσειεν, ἑκὼν ἀέκων προσβήσεται. Δεσμεῖται ὁ τὴν ἀνδρείαν πολὺς, ὁ νέος Σαμψὼν μετὰ τῆς τῶν ἐντολῶν συντηρήσεως, τοῖς ἀλλοφύλοις κατάσχετος γίνεται· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἱερεῖον δαίμοσιν ἐπιλέγεται· φεῦ! ὁ καὶ πρὸ γενέσεως ἀφωρισμένος θεῷ, καὶ μετὰ τὴν γέννησιν ἀνατεθεὶς εὐθὺς τῷ θεῷ· καὶ εἰς ἡλικίαν αὖθις ἐλθὼν, τῷ ἀληθινῷ καὶ ζῶντι αὐτὸς ἑαυτὸν καθοσιώσας θεῷ· καὶ δοτὸς χρηματίσας Κυρίῳ, κρεῖττον ἢ περίτου, τῶν θείων ἱστόρηται προφητῶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Ἀλλ' ἀληθὲς ὄντως το τοῦ προφήτου· προφήτου καὶ γὰρ ὡς ἐὰν πέσῃ δίκαιος, οὐ καταῤῥαχθήσεται· καὶ ἀκούσατε θαυμάσια θεοῦ καὶ δοξάσατε. Πέρας ἡ προθεσμία ἡ τῆς σφαγῆς εἶχεν ἰδοὺ· ἐφεστήκει καὶ ἡ κυρία. Ἀλλ' ἐντεῦθεν τὰ τοῦ διηγήματος χαροποιά.

Ἐξίασι τὸ εἱλωτικὸν τῶν Περσῶν, τοῦ παρακειμένου ὄρους ξυλεύσασθαι· ὕλιν ἴσως ἐπισωρεύσοντες, τῷ ἐπιβωμίῳ πυρί· Θεοῦ δ' εὐδοκοῦντος τῷ μεγάλῳ τῷ δε τὴν σωτηρίαν, Ῥωμαίοις ἐνέκυρσαν, τῷ τοῦ τόπου δυσβάτῳ παρὰ τὴν φυγὴν ἑαυτοὺς ἐμπιστεύσασι· καὶ τὶ πολλὰ λέγειν· συσχεθέντες· καὶ συχνὰ περὶ τοῦ βασιλέως ἐτασθέντες· εἰ πέρι ἐστιν· εἰ ἐν καλοῖς ἐστιν, ὅπη τε καὶ πῶς ἔχων εὑρίσκεται. Πάντα κατὰ μέρος διασαφοῦσι· καὶ οἱ ὡς μόνον ὅτι περιέστι μεμαθήκασι, θάρσους ὑποπλησθέντες, ὁρμῶσιν· ὁδηγοῖς ἐκ τούτων χρησάμενοι, κατ' αὐτοῦ τε τοῦ περσάρχου, καὶ τῶν ὅσοι σφαγιάσαι τὸν βασιλέα παρεσκευάζοντο· καὶ γοῦν συναραμένου Χριστοῦ, ἔργα γενναίας χειρὸς διαπράττονται. Χορεύουσι γὰρ ἐπιβώμια, λαμπρῶς τε περικροτοῦσι, τὰ τοῦ βασιλέως θυτήρια, τῷ περσάρχῃ σὺν τοῖς ἐν τέλει περιτυγχάνουσι. Τότε δὴ τότε τὰ τῆς θείας δυναστείας συνεωράκει τις ἄν, ἐκδηλότερον· καὶ παίγνιον μέν οὐκ ἂν θεοῦ τὸν ἄνθρωπον ἔφησεν· ὅπερ τις εἰρήκει τῶν ἔξωθεν, φαυλίζων τὰ καθ' ἡμᾶς καὶ ἀνθρώπινα, ὥς περ οὐκ ἄνθρωπος αὐτὸς ὤν· πάντα δ' ὑπείκειν εὖ διεγνώκει τῷ θείῳ νεύματι καὶ βουλήματι· οἷον γάρ τις ἀθρόα τότε συνεπεπτώκει τοῦ παντὸς μεταποίησις· μικροῦ γὰρ εἰς δουλείαν περιστάντα τὰ τῶν ἐλευθέρων Ῥωμαίων· τῶν μόνων γνησίων τοῦ θεοῦ λατρευτῶν· καὶ τοῖς ἐκ τῆς δούλης ὑποκλίνειν ἐλεεινῶς μέλλοντα· χεῖρα δόντος ἄνωθεν τοῦ θεοῦ, μεταστοιχειοῦται καὶ μεταβάλλεται. Ἔνθεν καὶ ὁ μὴ δὲ καιρὸν ἱκετηρίας προβραχέος διδοὺς, ὁ ἀγέρωχος Περσάρχης, ὁ τὰς ὀφρῦς ὅ φασιν ἀνατείνων τὰ μέτωπα, ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας ἐκδυσωπεῖ· καὶ ὁ τέως πρὸς σφαγὴν ἀνηλεῶς ἀπαγόμενος, συμπαθὴς αὐτῷ γίνεται. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πρὸς σπονδὰς τρέπεται. Ὁ ὑπὲρ Σολομῶντα τόγε εἰς αὐτὸν ἧκον εἰρηνικὸς βασιλεύς· τοῦ γὰρ τὴν εἰρήνην ἀφέντος τοῖς αὐτῷ μαθητεύσασι, καὶ οὗτος εἰ καὶ μὴ ἀμέσως· οὐ γὰρ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



*τοῦ κατ' αὐτὸν καιροῦ τοῦτο γε, ἀλλ' οὖν δι' ἐκείνων καὶ τῶν ἐκ διαδοχῆς παρ' ἐκείνων, καλῶς πάνυ καὶ συνετῶς ἠκροάσατο. Καὶ δὴ τῶν τῆς Περσίδος ὅρων ἀπαίρει, εὖτε καὶ ὡς ἐχρῆν τοὺς τῶν Ῥωμαίων ἀσφαλισάμενος· πάσῃ τε εὐφημούμενος γλώσσῃ, καὶ δεξιαῖς πρὸς ἁπάντων παραπεμπόμενος ταῖς προσρήσεσι, τὴν Βρετανίαν κατείληφε· Θεῷ μὲν αὐτὸς ἀναπέμπων τὸν χαριστήριον· πρὸς δὲ τῶν ὑπ' αὐτῷ λαμπροῖς τοῖς ἐπινίκοις[10] περικροτούμενος· καὶ προσεπικερδαίνων τὸν, ὑπέρτε αὐτοῦ καὶ τῶν αὐτοῦ παραπλησίων ἐπιχειρήσεων, πρὸς θεὸν ἱκετήριον. Ἀλλὰ τὰ μὲν πρὸς Πέρσας, οὕτω πῶς τῷ σοφῷ διήνυστο βασιλεῖ· καὶ οὕτω τὰ καθ' ἡμᾶς καὶ Ῥωμαϊκὰ· καλῶς τε καὶ οὐκ ἄντις ᾠήθη, τῆς ἐκεῖθεν ἐπηρείας ἐλεύθερα διαγέγονε. Τὰ δὲ πρὸς Ῥωμαίους μὲν, οὐχ ὁμόφρονας δὲ, πῶς· καὶ τίνα διαλέλυται τὸν τρόπον· καὶ λίαν πάνυ καλῶς· θεὸς γὰρ ἦν ἀρωγὸς, ὑπερ οὗ καὶ δι' ὃν τὰ τῆς μάχης συνεκρότητο· Θεὸς δι' ἐπιπνοίας τῶν λυσιτελῶν σύμβουλος· Θεὸς ἐμφανὴς πρόμαχος· Θεοῦ δ' ἐνεργοῦντος, τί οὐκ ἂν εἴη τῶν ἀδυνάτων εὐχερές τε καὶ ῥάδιον. Μαξέντιος ὁ τοῦ Ἑρκουλίου, ἦν μὲν καὶ ἄλλως τὸν τρόπον σκαιός· ἦν δὲ καὶ τὰ εἰς Θεὸν οὐχ ἥκιστα δυστεβής· δεισιδαιμονέστατος γὰρ τῶν πώποτε γέγονε· καὶ πάντας τῇ ἀπηνείᾳ ὑπερελήλακε, τοὺς πρὸ αὐτοῦ τυραννίσαντας· καὶ συνελόντι φάναι, τά τε πρὸς ἀνθρώπους οὐκ ἀγαθός· τά τε πρὸς θεὸν πονηρός· καὶ οὐδὲν οὐδοπωσοῦν ὑγιές. Ἐπιλαβόμενος δὲ καὶ ἀρχῆς, ἥ, κατὰ τὸν εἰπόντα, δείκνυσιν ἄνδρα, τὰ τῆς ἀρχῆς δεινῶς ἀνεκύκησεν. Ὡς γὰρ δὴ τῶν βασιλείων τῆς οἰκουμένης κατ' ἐκεῖνο καιροῦ τῆς περιφήμου φημὶ Ῥώμης ἐπείληπτο· πᾶσαν σπουδὴν ἔθετο, ἐκ ποδῶν εὐθὺς τὰ τῆς εὐσεβείας ποιήσασθαι· ὅθεν καὶ τῶν τῆς συγκλήτου συχνοὺς μὴ βουλομένους τὰ τῶν Χριστιανῶν ἀπομόσασθαι, θανάτῳ πικρῷ ἐζημίωσε· πλήθητε ὅλα βασάνοις περιέβαλε βαρείας, καὶ πλείστους ὅτι πικρῶς ἐξείλετο τῆς ζωῆς. Ἀνηνέχθη ταῦτα τῷ βασιλεῖ· τῷ διὰ Χριστοῦ τῷ δὲ καὶ ὑπὲρ τῶν τοῦ Χριστοῦ βασιλεύσαντι· καὶ ὃς εὐθὺς, γράμμασι, μηνύμασι, πρέσβεσιν, ἀγγελιαφόροις ἀναγκάζει, παραινεῖ, μειλίσσει, βιάζεται τῶν τοιούτων ἀποσχέσθαι κατὰ*

[10] Ἐν τὸ τοῦ Πρωτάτου, "ἐπινικίοις."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Χριστιανῶν ἐπιθέσεων· ὡς δὲ εἶδε τούτοις ἀνύων οὐδὲν, ζῆλον ἀναλαβὼν Φινεὲς, ζῆλον ἀναλαβὼν Ἡλιοῦ, γενναίως παρασκευάζεται κατ' αὐτοῦ. Ἐπεὶ δὲ καὶ ἐν χρῷ τῆς παρεμβολῆς ἐγένοιτο, ἐκεῖνος μὲν ζωοθυσίαις τε καὶ ἀνατομαῖς, ἑαυτὸν ἐνδίδωσιν· οἰωνισμοῖς τε καὶ κληδονησμοῖς, καὶ παντοίοις γοητειῶν εἴδεσιν. Ὁ δὲ, τὸ εἰωθὸς αὐτῷ καὶ τότε ποιεῖ· Θεὸν μετακαλεῖται εἰς σύμμαχον, θεὸν αἰτεῖται τοῦ πολέμου συνέριθον, ᾧ καὶ ἀντὶ θυσίας, πνεῦμα συντετριμμένον ἀπόγε καρδίας καθαρᾶς προσαγήοχε. Καὶ ὢ τῶν κατὰ πάλαι τεραστίων αὐτοῦ· ἐρῶ δὲ καὶ ὑπὲρ τὰ πάλαι καὶ ἀληθῶς ὄντος ἐρῶ· τότε μὲν γὰρ ἐφ' ἡλίου δρόμῳ καὶ σελήνης ἐνήργητο, τὸ θαυμάσιον· νῦν δ' ἐπὶ φωτὸς καινοτέρῳ σχηματισμῷ, ἀληθέστερον δὲ καινῇ φάναι φώτων παραγωγῇ, τὰ τῆς τερατουργίας τετέλεσται· φῶς διαγράφει τὸ τοῦ Σταυροῦ θεῖον ἐκτύπωμα· φῶς ἐπιγράφει τε, καὶ περιγράφει· καὶ τὴν νίκην σαφῶς ὑπαγορεύει· τῷ τοῦ ἐν αὐτῷ σταυρωθέντος προσκυνητῇ. Ἡμέρας μὲν δὴ ταῦτα βάλλοντος ἡλίου μεσημβρινά· ὅτε συνήθης ἅπας ἀστὴρ ταῖς ἡλιακαῖς λαμπρότησι συγκρυπτόμενος, τόγε εἰς ὄψιν ἧκον παντελῶς ἀφανίζεται· νυκτὸς δ' αὐτὸς ἐπιφανεὶς ὁ τάδε φήνας Χριστὸς, τὸν τοῦ φανέντος ἐν ἀερὶ τύπον σταυροῦ, τὸ τάχος τεχνουργῆσαι διακελεύεται. Καὶ τοῦτον τῶν ἐπὶ παρατάξεως προβαλόμενον συνθημάτων, Μαξεντίῳ μετὰ θάῤῥους τῷ εἰδωλοχαρεῖ προσβαλεῖν. Τί τοίνυν μακρηγορεῖν; Ποιήσας ὡς διατέτακται, ἀράχνης ὥσπερ ἱστὸν τὰς ἀντιπάλους φάλαγγας διαλέλυκεν· ἐφ' ᾧ καὶ τοῖς ὅλοις ἐξαπορηθεὶς ὁ τέως τὰ μεγάλα φυσῶν Μαξέντιος, πρὸς φυγὴν τρέπεται· Ἐπιβὰς δὲ γεφύρας, ἣν παρὰ τὴν μάχην αὐτὸς ἐσχεδίασεν· ὑποβρύχιος κατασεισθείσης γενόμενος, ἐξαπόλωλε· καὶ τῶν φευγόντων πλεῖστοι συναπολώλασιν. Ἀλλ' εἴσοσι μὲν τὴν περίκλυτον Ῥώμην, ὁ τοῦ Θεοῦ στρατηγὸς οὗτος, ἢ ἀποστράτηγος· ἐῶ γὰρ λέγειν ὡς καὶ συνεστρατήγει τούτῳ Θεὸς, αὐτὰ γὰρ μαρτυροῦσι τὰ πράγματα. Εἴσοσι δ' οὖν τὸν τοῦ ὁραθέντος τύπον Σταυροῦ μετέωρον προβαλλόμενος, καὶ παραπέμπων μὲν τοῦτον, καὶ συμπομπεύων αὐτῷ. Τῷ δὲ δι' ὃν καὶ τετίμητο οἱ τὸ τοῦ πάθους τοῦτο σεπτὸν σύμβολον, ἅπαν ἀνατιθεὶς ἑαυτοῦ καὶ ἔργον καὶ τρόπαιον· παρὰ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



μὲν τῇ εἰσόδῳ, οὕτω πως ἀνακηρύττει Χριστόν· μετὰ δέ γε εὐθὺς τὰ τὸν ὑπὲρ Χριστοῦ παθόντων, ἀναζητεῖ λείψανα· λείψανα σωμάτων ἐκείνων ἰσοσθενῶν καρτερικωτάταις ψυχαῖς περιφρονησάσαις τὰ παρόντα δεινὰ, διὰ τὰ διαιωνίζοντα ἀγαθὰ καὶ ὄντως ἀνωτέραις πάθους παντὸς, πόθῳ τῷ πρὸς τὸν ὑπὲρ ἡμῶν παθόντα θεόν. Διὰ γοῦν τῆς ἐπὶ τούτοις τιμῆς τὸν πρὸς τὸν ὑπὲρ οὗ πεπόνθασι πόθον, παρίστησι· καὶ τοῖς ὑπ' αὐτῷ πᾶσι διάδηλον τίθησιν. Ἀλλ' ὢ δεινοῦ παρὰ τὸν μέγαν τοῦτον συμβάντος· μᾶλλον δὲ βαβαὶ πάθους ἀνηκέστου, ὅτῳ δήπουθεν περιπέπτωκεν, ὃ καὶ συμβαλεῖν οὐκ ἔχω πόθεν ἄρα καὶ συνηντήκει χαλεπὸν οὕτω πάθος καὶ ἀποτρόπαιον· πότερα γὰρ αὐτόθεν τοῦ Θεοῦ δοκιμάζοντος, ἢ καὶ ἐξαιτησαμένου τοῦ Σατανᾶ, τοῦθ' ὃ ποιεῖν εἴωθε κατὰ τῶν ἐξειλεγμένων Θεῷ, ὡς καὶ τὰ παρὰ τοῦ μακαρίου Ἰὼβ σαφῶς ἡμᾶς ἀνεδίδαξε. Λώβῃ δεινῇ περιπέπτωκεν ὁ καθαρὸς οὑτοσὶ καὶ ἐκ καθαρῶν τριττοῦ γὰρ ὄντος τοῦ πάθους, ἐλεφαντίασις ἣν νενόσηκε τοὔνομα. Δυσφοροῦντος οὖν ὡς εἰκὸς, οἱ ἑκασταχόθεν συνελθόντες ἐπαοιδοί τε καὶ γόητες, ἀῤῥητουργίαις, ἢ ἀθεμιτουργίαις εἰπεῖν οἰκειότερον, θεραπεύειν ἐπηγγέλλοντο τὴν νόσον, καὶ πρὸς τὴν προτέραν ἐπανάξειν ὑγίειαν. Ἓν οὖν τῶν κυρωθέντων τοῖς δαιμόνων ἐκείνοις θεραπευταῖς· τὰ γὰρ ἄλλα σιωπῇ παραδράμοιμι, λήθης τε κρίνων καὶ σιωπῆς ἄξια. Παίδων πλῆθος ὑπομαζίων πρὸς σφαγὴν σφίσιν ἐζήτηται· ἔφασαν γὰρ ὡς εἰ πλήσουσιν αἵματος νεοσφαγῶν νηπίων ἀσάμινθον, καὶ καθέντες τοῦτον ἔτι ζέοντος περικλύσουσι, τοῦ πάθους εὐθὺς ἀπαλλάξουσι, καὶ πρὸς τὸ πρῶτον κάλλος καὶ τὴν μορφὴν ἐπανάξουσιν. Ἀλλ' ἐνταῦθα τίς ἂν κατίδοι τὸ τοῦ βασιλέως συμπαθές τε καὶ φιλοικτον· διῄει τυχὸν οὕτω τὴν ἐπὶ τὸ καπιτώλιον ἄγουσαν· καὶ δὴ αἱ τῶν πρὸς σφαγὴν ηὐτρεπισμένων μητέραις ἀπαντῶσι θρηνοῦσαι, κωκύουσαι, ὀλολύζουσαι· ἄλλοθεν ἄλλη δεομένη, καὶ κοινῇ περὶ τῶν παίδων ἐλεεινολογούμεναι, καὶ ἀνεῖναι τὰ τέκνα σφῶν αὐτῶν δυσωποῦσαι τοῦ πικροῦ θανάτου καὶ τῆς σφαγῆς· καὶ ὃς, ὢ συμπαθεστάτης ψυχῆς, ἔκθαμβος εὐθὺς γεγονὼς, τί, φησι, τὸ περὶ ἐμὲ τοῦτο δεινόν· ὑπὲρ τῆς ἐμῆς ὑγιείας τοσούτων ἀπώλεια παρεσκεύασται; Ἀβάλε μοι ὅτι

Ακαδημία Αθηνών / Academy of Athens



καὶ εἰς ἀκοήν μοι ἐλήλυθε· τεθναίην αὐτὸς ἔγωγε, πρὶν ἤτι τοιοῦτον ὑπὲρ τῆς ἐμῆς γενέσθαι ζωῆς. Ἄγεμοι λοιπὸν οἱ τὴν εὔνοιαν ἐκ μακροῦ τρέφοντες, εἰπέρποτε νῦν εὐήκοοι φάνητε, καὶ πάσῃ σπουδῇ ζῶντα τε τὰ βρέφη καὶ καλῶς ἔχοντα ταῖς μητράσι παράθεσθαι· ἀνθ' ὧν τε λύπης κατὰ καρδίας βληθῆναι βέλει πεφθάκασι, δαψιλέσι δωρεαῖς ἀμειψάμενοι· θεραπεύεται ταύτας, καὶ τὰ εἰκότα φιλοφρονήσασθε. Τί μεῖζον φιλανθρωπίας τεκμήριον; Τί κρεῖττον τῆς κατὰ Χριστὸν ἀγάπης ζητήσει τις γνώρισμα; Παῦλος ὁ τῆς ἀγάπης διδάσκαλος, ὑπὲρ τῆς τῶν ἑτέρων σωτηρίας ἑαυτοῦ κατηύξατο. Οὗτος δὲ, καὶ ἔργῳ τῆς ἑτέρων ἑαυτὸν καταπροῆκε ζωῆς. Τὸ γὰρ δὴ ἐπὶ ταῖς βεβαίαις τῶν ἐπισχνουμένων ἐπαγγελίαις· μόνον οὐκ ἐν χερσὶ τὴν ὑγιείαν ἔχων καὶ τὴν ζωὴν, τὴν τῶν ἄλλων μᾶλλον προείλετο. Τί δ' ἐπὶ τούτοις· ὁ τοῦ ἐλέους πατὴρ, ἡ τῆς ἀγαθότητος ἄβυστος, ὁ ὑπὲρ ἡμῶν καθ' ἡμᾶς γεγονὼς Κύριος, πῶς τοῦ συμπαθοῦς, πῶς τῆς πρὸς τοὺς πλησίον ἀγάπης ἀμείβεται, τῆς ὑπ' αὐτῷ δὲ καὶ ὑπὸ χεῖρα μᾶλλον εἰπεῖν οἰκειότερον; διπλῶς δεξιοῦται τοῦτον ὁ μεγαλόδωρος. Καὶ γὰρ τελειοῖ διὰ τοῦ βαπτίσματος, καὶ ἐξ ὑγιείας ἄγει πρὸς εὐεξίαν· τὴν κατὰ πνεῦμα λέγω καὶ κρείττονα, ἧς οἶμαι χάριν καὶ τὰ τῆς νόσου παρακεχώρηται. Μετὰ γὰρ ταύτην εὐθὺς δωρεῖται καὶ τὴν τοῦ σώματος. Καὶ γοῦν ἐφιστᾷ τούτῳ τοὺς κορυφαίους τῶν Ἀποστόλων, Πέτρος οὗτοι καὶ Παῦλος, τῆς οἰκουμένης τὸ περιλάλημα. Εἰ δὲ καὶ τῆς ἐκκλησίας φαίην αὐτοὺς ἔρεισμα, λαμπρόν τε τῆς εὐσεβείας στήριγμα· τῆς ἀληθείας πάντως οὐχ ἁμαρτήσομαι· οἳ καί φασι πρὸς αὐτόν· ἥκομέν σοι Χριστοῦ θεράπων διάπυρε, οἱ δοῦλοι Χριστοῦ καὶ ἀπόστολοι, καὶ προσεπεδήλωσαν τὰ ὀνόματα· ἥκομεν διακομίζοντες εὐαγγέλια· βούλεται καὶ γάρ σε Θεὸς τέλειον καταστῆσαι, καὶ θεῖναι πάνθ' ἡμῖν σύμμορφον, ὡς καὶ συγκληρονόμος, ἐν οὐρανοῖς γένοιο. Τὸν γοῦν θεῖον τὸ τάχος μετάπεμψαι Σίλβεστρον, καὶ τῷ θείῳ πρὸς αὐτοῦ βαπτίσματι καθαγνίσθητι· ἀποῤῥύψῃ γὰρ τὴν λέπραν εὐθὺς, καὶ ὡραῖος ἀναδειχθήσῃ, καὶ ἀναφανήσῃ φαιδρότατος. Ἐπὶ τούτοις ἀνεῖται τοῦ ὕπνου, καὶ πέμπει τοὺς μετακαλεσαμένους τὸν μακάριον Σίλβεστρον, μηδὲν τῆς πρὸς αὐτὸν

Ακαδημία Αθηνών / Academy of Athens



τιμῆς διακελευσάμενος τῷ μεταξὺ παριδεῖν· καὶ ὃς τάχα γε πρὸς θεοῦ τοῦτο καὶ αὐτῷ προσταχθὲν, θᾶττον ὅ φασι πτεροῦ καὶ νοήματος, παραγίνεται. Καὶ γοῦν ἐντειλάμενος τὰ εἰκότα τῷ καλῶς αὐτόθεν κατηρτισμένῳ καὶ πεφωτισμένῳ ἀπὸ γενέσεως, τῷ θείῳ τοῦτον σφραγίζει βαπτίσματι. Ἔνθεν δὴ καὶ καθίστησι τὸν τέλειον, τελεώτατον· τὸν βασιλέα, πάσης ἐπιβουλῆς ἀνώτερον τίθησι· τὸν ἀληθῶς κατ᾽ εἰκόνα θεοῦ θεοείκελον ἀναδείκνυσιν. Ἀλλ᾽ ἴσως τίς ἐπηρεάζων τῷ λόγῳ· καὶ πῶς φήσειεν ἂν τοιούτων ἠξιώτο, μήπω τῷ θείῳ μυστηρίῳ κατηρτισμένος; οὐρανίων δηλονότι ὀπτασιῶν, καὶ θειοτέρων ὁμιλιῶν. Ἀλλ᾽ ἀκουέτω· ὡς εἶχε μὲν τὰ τῆς εὐσεβείας σπέρματα, καὶ τὰ τῆς ὁμολογίας ὑγίαινεν· οἷς ὅτι καὶ τὴν ἄνωθεν ἐπὶ τοῖς πρακταίοις αὐχῶν ἀντίληψιν, ἣν βεβαιοῦσαν ἐπὶ μᾶλλον αὐτὸν, καὶ πρὸς τελεωτέραν τῆς ἀληθείας ἄγουσαν πίστωσιν. Ἐάσαι δ᾽ ἡμιτελῆ οὐκ ἦν πάντως πρὸς τοῦ φιλανθρώπου θεοῦ τοῦ παρεγγυῶντος τελείους τοὺς αὐτοῦ γίνεσθαι διὰ τὴν ἑαυτοῦ τελειότητα. Βεβάπτισται γοῦν εἰς ὄνομα Πατρὸς ἀνάρχου, Υἱοῦ παντοδυνάμου καὶ συμφυοῦς Πνεύματος. Πρὸς δὲ καὶ ὁ τῶν παίδων τὴν ἡλικίαν προήκων, καὶ τὸ φρόνημα τελεώτερον Κρίσπος οὗτος ἐκέκλητο· καὶ πλῆθος σὺν τούτοις οὐκ εὐαρίθμητον, τῷ θείῳ βαπτίσματι καθηγνίσθησαν. Τότε δὴ τότε καὶ ὡς χεὶρ Κυρίου τὰ κατὰ τὸν μέγαν τοῦτον διεῖπε· καὶ δεξιὰ Ὑψίστου τὰ κατ᾽ αὐτὸν ἴθυνεν· αὐτῷ τε σαφέστερον ἔγνωσται, καὶ τοῖς ἄλλοις ἔνθεν δεδήλωται· Χεὶρ γὰρ ἄνωθεν ἐπιφαίνεταί οἱ ἁπτομένη καὶ περιέπουσα. Ἀπεληλάσθων οὖν γῆς τε ἁπάσης καὶ ἀκοῆς, αὐτοῖς αὐτῶν Ἀρειανοὶ ψεύδεσιν, εἰπέρ που καὶ περιελείφθησάν τινες, τὸν Ἰουδαϊσμὸν ἐν προσχήματι Χριστιανισμοῦ κρύπτοντες, καὶ τὸν Ἑλληνισμὸν παρεισάγοντες· μείζους καὶ ἐλάττους θεοὺς δογματίζοντες, ὑπὸ τῶν δυσεβῶν οἵ γε δὴ θρυλλοῦσιν Ἀρειανῶν βεβαπτίσθαι τὸν εὐσεβέστατον βασιλέα, τὸν τῶν οὐρανίων μύστην, καὶ τῶν θείων ἀκριβέστατον γνώμονα. Κατὰ γὰρ τὸν Παῦλον καὶ οὗτος, οὐκ ἐξ ἀνθρώπων, οὐδὲ δι᾽ ἀνθρώπων, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ κέκληται καὶ μεμύηται. Οἱ δὲ τῷ πρὸς αὐτὸν μίσει ἐφ᾽ ᾧ γε τῇ ἀληθείᾳ συστὰς, τὸ ψεῦδος αὐτῶν ἤλεγξε, καὶ αἰσχρῶς σφᾶς ἀπε-



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



πέμψατο, ὑπὸ τοῦ δυσεβῶς τῆς Νικομήδους ἐπιβατεύσαντος[11] Εὐσεβίου, βαπτισθῆναι τοῦτον διαφημίζουσι· καὶ καινὸν οὐδὲν. Οἱ γὰρ κατὰ τῆς πρώτης ἐκείνης τῆς ὑπὲρ νοῦν ὁμοῦ καὶ διάνοιαν ἀπαυθαδιασάμενοι φύσεως, τῆς ταυτοδυνάμου καὶ συμφυοῦς Τριάδος· καὶ πρῶτον περὶ αὐτῆς· καὶ δεύτερον δογματίσαι τολμήσαντες, καὶ τὸ φύσει παρενείραντες καὶ οὐ φύσει· βαθμούς τε[12] θεότητος φληναφήσαντες, τί περ ἂν περὶ τοῦ γνησίου καὶ διαπύρου ταύτης θεράποντος, συμπλάσαι κατώκνησαν· ἢ τὶ οὐκ ἂν κατ' ἐψεύσαντο τοῦ, οἰκουμενικῷ συλλόγῳ· οἰκουμενικῶς αὐτοὺς στηλιτεύσαντος, καὶ τῆς οἰκουμένης τόγε εἰς αὐτὸν ἧκον ὑπερορίσαντος. Ἀλλ' ἐκδέχεται ἡμᾶς ἕτερον μέγα τοῦ μεγίστου βασιλέως κατόρθωμα. Ἐῶ λέγειν τὴν πτῶσιν τοῦ Γαλλερίου Μαξιμιανοῦ, ὃς τῇ βασιλείῳ ἐποφθαλμίσας περιωπῇ, πρὶν ἢ ἀναδήσασθαι τὰ βασιλικὰ· αἰσχρῶς λίαν ἀνατραπεὶς, οὐδὲ τῶν ἐνταφίων ὁ μέλεος περιβλημάτων ἠξίωται· πεπτωκὼς ἐν Κιλικίᾳ πτῶσιν ἐλέους μὲν, οὐ συγγνώμης δ' ἀξίαν. Ἀλλὰ καὶ μανθάνει τὸν αὐτοῦ πατέρα Γαλλέριον, πολλὰ τοῖς τὸν χριστὸν σεβομένοις ἐπηρεάζοντα, καὶ πάντα τρόπον ἐξόμνυσθαι τὴν εἰς αὐτὸν ὁμολογίαν καταναγκάζοντα, καὶ βαρείαις ὅτι βασάνοις ἐνθένδε καθ' ὑποβάλλοντα· ὁποῖάττα καὶ περὶ τὸν θεῖον ἔδρασε Παντολέοντα· ἄνδρα πλήρη σοφίας καὶ γνώσεως· ὃν ὡς τὸν Ἄβραμ Ἀβραὰμ, Παντελεήμονα θεὸς μετωνόμασε· τὸν σεμνόν τε Ἑρμόλαον σὺν τοῖς σεπτοῖς συγγόνοις αὐτοῦ· Ἑρμοκράτη λέγω καὶ Ἕρμιππον. Ὅθεν καὶ στρατεύσας κατ' αὐτοῦ ὁ εὔνους οὗτος τοῦ Χριστοῦ θεράπων καὶ πρόθυμος τῶν τοῦ Χριστοῦ λατρευτῶν πρόμαχος, περίπου τὸν Ἀστακηνὸν τόπον ξυῤῥήγνυσι πόλεμον· πλῆθος στρατιᾶς ἐπαγομένῳ, καὶ παρεσκευασμένῳ μὲν τὰ ἐς τὸν πόλεμον ἐντελῶς. Δεινῶς δὲ στρατηγουμένῳ· μᾶλλον δ' οἰστρηλατουμένῳ οἷς γε δὴ προσέκειτο δαίμοσι παντίαις τε διηυτρεπισμένῳ ἀῤῥητοποιΐαις ἢ ἀθεμιτουργίαις εἰπεῖν ἀληθέστερον· καὶ γὰρ δὴ καὶ ἐθάῤῥει τὰ μεγάλα ταῖς δεξιαῖς κληδόσι, τοῖς αἰσίοις συμβόλοις, τοῖς δεξιωτέροις ὡς ἐδόκει προφοιβασμοῖς. Ὡς δ' ἐκ τῆς ἀληθείας ἀπεφάνθη ἀπαισίοις τε καὶ ἀποτροπαίοις, καὶ τὸν ὄλεθρον σαφῶς προξενήσασιν·

[11] Διονυσ., "ἐπιβασιλεύσαντος." [12] Πρωτ., "βαθμοῦντες."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Ἀλλ' οὕτως μὲν οὑτωσὶ παρεσκεύαστο· καὶ τοιούτοις ἐτεθαῤῥήκει ματαίοις ὄντως ὁ μάταιος. Ὁ δὲ θεῖος ἀληθῶς καὶ διὰ θεοῦ βασιλεὺς, ὁ τίμιος ΣΤΑΥΡΟΣ μετέωρος ἐπὶ κάμακος προὐπορεύετο· τῶν λοιπῶν ὑπεραιωρούμενος συνθημάτων καὶ τοῦ στρατοῦ βροβαλλόμενος· Ἀλλ' ἐνταῦθά μοι τὸ τοῦ διηγήματος ἥδιστον· ὡς γὰρ ἐν χρῷ τοῦ στρατεύματος γεγονὼς· ὁ τῶν δαιμόνων ὑπασπιστής τε καὶ ὑποστράτηγος Μαξιμιανὸς ὁ Γαλλέριος, τὸ φοβερὸν καὶ σωτήριον σημεῖον ἑώρακε, τοῖς ἀπίστοις λέγω καὶ τοῖς πιστεύουσι, προὔργου πεποίηται τὸν φέροντα στρατιώτην βαλεῖν, καὶ τὸν ἐπιφερόμενον Σταυρὸν συγγαταβαλεῖν. Καὶ δὴ ἐντέλλεται τοῖς εὐστοχωτέροις τὴν τοξικὴν, ἐκπλῆσαί οἱ διατάχους τὸ κατὰ βούλησιν· τιμᾶς τε ὑπισχνεῖται καὶ δωρεὰς ἐπαγγέλλεται. Δειλαίνει ἐπὶ τούτοις ὁ τὸν Σταυρὸν φέρων· καὶ συμπροπορευόμενος, σκαρδαμύσσει πρὸς τὰς βολὰς καὶ πρὸς τὰ ὀπίσω χωρεῖ· ἀμφίβολος καὶ γὰρ περὶ τὴν πίστιν ἔτυχεν ὤν· καὶ τῇ τῶν Ἑλλήνων θρησκείᾳ τοπλέον προσκείμενος· ὁρᾷ τοῦτον ἕτερος περὶ τὴν ἡμετέραν καὶ ἀληθῆ βέβαιος· ὃς ἱκανὸς ἦν μήθ' ὑετῷ σφοδρῶς καταφερομένῳ παρασυρῆναι τοῖς πυκνῶς ἐπαφιεμένοις τό τε δηλαδὴ βέλεσι, μήτε μὴν πνεύμασι τοῖς τῆς πονηρίας περιτραπῆναι, θράσος κατ' αὐτοῦ τοῖς βάλλουσι πνέουσιν· Ἐπὶ γὰρ τὸν ἀκρογωνιαῖον λίθον Χριστὸν τὰ τῆς πίστεως ἐκείνῳ τεθεμελίωτο· τοίνυν καὶ περιδύεται, ὃν περιέκειτο θώρακα· καὶ τὸ κράνος τῆς κεφαλῆς ἀποτίθεται· τῷ γὰρ θυρεῷ θαῤῥῶν ἦν τῷ τῆς πίστεως· ὃν τῶν στέρνων προὐβέβλητο, περιέποντα καλῶς τὰ τῆς καρδίας κινήματα· εἴτουν τὰ τῆς ψυχῆς κατευθύνοντα πρὸς τὸ δέον διανοήματα. Τῇ τε περικεφαλαίᾳ τοῦ σωτηρίου, ᾗ τὴν κεφαλὴν τὸ λογιστικὸν δῆτα τῆς ψυχῆς ἐπεπύκαστο· οὐ γὰρ ἄπομοι λόγου, καὶ μεταξὺ τοῦ δρόμου περὶ ἀνδρὸς τοιοῦδε λέγειν καὶ τὸν λόγον ἐπεξεργάζεσθαι. Πλὴν ἀλλὰ προπηδᾷ τῶν ἄλλων· καὶ τοῦ δόρατος λαβόμενος ἐφ' οὗ μετέωρος ἦν ὁ σταυρὸς, προηγεῖται τῶν φαλάγγων· βόμβον κωνώπων τὴν τῶν τόξων κλαγγήν. Τρώσεις δὲ μηῶν τὰς τῶν δυσμενῶν νομίζων βολὰς, μάρτυρος προῆλθον μέγα βοῶν· μάρτυρος καὶ γὰρ ἐτύγχανε φύς· ἀνδρείας πατρικῆς κληρονόμος, εἶναι ποθῶ· βάλλετε δυσεβεῖς βάλ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



λετε· βέλη γὰρ τὸ τοῦ προφήτου νηπίων, τὰ ὑμῶν ἥγημαι βέλη· καὶ τὸ δὴ θαυμάσιον καὶ ὃ πᾶς τις ἂν ἀκούσας θείας δίκης λογίσαιτο· ὁ μὲν ἀπὸ μυρίων ὅσων φυλάττεται τῶν βολῶν· ὁ δὲ δειλὸς ἐκεινοσὶ καὶ λειποτάκτης ἀνὴρ, πόῤῥω που καὶ μετὰ τοσούτους ἱστάμενος, καιρίαν τε βάλλεται, καὶ τῆς τῶν ζώντων μοίρας ἐκβάλλεται· νεκρός τε ὢν τὸ νοούμενον, νεκρὸς κατέστη καὶ τὸ ὁρώμενον· θάμβους τε εἰ καὶ μὴ δέους, τοῖς συμπαρατεταγμένοις αἴτιος γίνεται· καὶ γὰρ ἀναλαβόντες ἔνθεν αὐτοὺς· καὶ θάρσους πλήρεις γενόμενοι, τὸν δεισιδαίμονα Γαλλέριον τρέπουσι· καὶ πλήθη ἐν ἀκαρεῖ σφάττουσιν. Ἐν τούτῳ δ᾽ οὗτος λαθὼν, ἀποδὺς τὰ βασιλικὰ, καὶ στρατιωτικὰ μεταμφιασάμενος, διαδρὰς ᾤχετο· πόῤῥω δέ που τοῦ κινδύνου γιγνόμενος, τοὺς ἑκασταχόθεν ἐπαοιδοὺς συναθροίζει καὶ γόητας, ὅσοι ταῖς σφετέραις αὐτῶν προῤῥήσεσι πρὸς τὴν μάχην ἐπῆραν καὶ τὴν ἧτταν προὐξένησαν· οὓς καὶ τῆς ἀπάτης δίκας εἰσπράττων, καθ᾽ ἕνα πάντας διαχειρίζεται. Ἀλλ᾽ οἱ μὲν οὕτω τὴν τῆς πλάνης ἀντιμισθίαν εἰλήφασιν· ὁ δὲ κᾂν ἐκ τοῦ πολέμου διέδρα, κᾂν τὸν εὐσεβῆ βασιλέα διέφυγεν, Ἀλλ᾽ οὐχὶ Θεὸν διαφυγεῖν ἴσχυσεν· Ἀλλ᾽ ἀξίαν τῆς κακίας δίκην αὐτῷ δίδωσι, νόσου γεγονὼς παρανάλωμα· καὶ τῆς μενούσης ἐκεῖσε κολάσεως ἐντεῦθεν σχὼν τὰ προοίμια. Φλὸξ γὰρ τὰ ἔγκατα πυρπολήσασα,[13] καὶ τοὺς ὀφθαλμοὺς εἰς ἀτμὸν διαλύσασα, ἕκαστόν τε τῶν αἰσθητηρίων ἀμαυρώσασα· καὶ δεινῶς ἅπαν μέλος ἀποτεφρώσασα, ὀστὰ μόνα καταλελοίπει τὸν δείλαιον. Τὸ δ᾽ ἐντεῦθεν, τί τοῖς ἡμετέροις οὐκ ἐπιχωρίζει τῶν ἀγαθῶν· τί δὲ τῶν δεινῶν οὐκ ἐκ ποδῶν γίνεται· ἀπέσβη τὰ τῆς εἰδωλομανίας ἁπανταχόθι· καὶ τῆς ἐκεῖθεν ὁ ἀὴρ κνίσσης, διακεκάθαρται· τὰ τῆς ἀληθείας πεπαῤῥησίασται· καὶ τὸ πᾶν εὐθὺς κατηύγασται καὶ πεφώτισται· ὡς γὰρ δὴ συνάρσει θεοῦ τὴν μοναρχίαν ὁ βασιλεὺς ἀναδέδεκτο· καὶ τὸν αὐτοῦ τε καὶ Χριστοῦ καταβεβληκὼς ἀντίπαλον, Αὐτοκράτωρ πρὸς ἀλήθειαν ἀνηγόρευτο, τὰ πανταχόθι τῆς γῆς εἰδωλεῖα, τοῖς βουλομένοις ἀνατρέπειν ἐνδίδωσι· καὶ τοῖς μὴ βουλομένοις ταῦτα ποιεῖν, προσταγὴν δίδωσι· μόνους τε πρὸς στρατηλογίαν ἐγκρίνειν,

[13] Πρωτ., "διαπυρπολήσασα."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τοὺς ἀψευδῆ τὸν Χριστὸν ὁμολογοῦντας θεόν· τοὺς δ' ὡς ἑτέρως θρησκεύοντας, ἐν καρὸς μοίρᾳ τάττειν, καὶ παντὸς ἀπαξιοῦν πολιτικοῦ πράγματος, τοῖς ἀνὰ πᾶσαν αὐτοῦ τὴν ἀρχήν· τοῦτο δ' εἰπών, ἅπασαν ἢ ῥῆμα τὴν οἰκουμένην διακελεύεται· ὅσοι τε σφῶν αὐτῶν προσεπιδηλοῖ, τῆς πλάνης ἀφίσταιντο, καὶ τῇ ἀληθείᾳ προσέρχειντο, φιλοφρονεῖσθαι τὰ εἰκότα· καὶ οὓς μέν, συγκαταλέγειν αὖθις τῇ στρατιᾷ· οὓς δὲ καὶ τοῖς τῆς πολιτείας κατὰ τὸ ἀναλογοῦν ἐγκαταγράφειν, καὶ τιμῶν προσηκουσῶν ἀξιοῦν. Ἕτερά τε παρόμοια, ἀγάπῃ τῇ πρὸς τὸν θεόν, καὶ βίου πόθῳ σεμνοτέρου, θεσπίζει καὶ διατάττεται· καιρούς φημι νηστειῶν, καὶ συναλλαγμάτων ἀσχολίαν· παρά γε ταῖς ἑορτασίμοις τῶν ἡμερῶν· ὑπὲρ κρείττονος πάντος σχολῆς, δαψιλέστερον τὸ κέρδος ταμιευομένης εἰς νέωτα· αὐτίκα γὰρ τὴν πρὸ τοῦ σεβασμίου πάσχα ἑβδομάδα, καὶ τὴν μετ' αὐτὸ πᾶσαν ἀπράκτους μένειν διακελεύεται· τὴν μέν, ἔμοιγε δοκεῖν, ὡς τῇ τοῦ σωτηρίου πάθους μνήμῃ καλῶς ἐνσχολάσαντες, δι' ἔτους ὅλου τὸν ὑπὲρ ἡμῶν πεπονθότα ἀναπολοίημεν· καὶ τῶν ἀλογωτέρων[14] ὁρμῶν εἴτουν ἐμπαθεστέρων κινήσεων ἀναχαιτιζοίμεθα· τὴν δ' ὡς τὰ τῆς ἐλευθερίας καὶ τῆς ἀναστάσεως ἑορτάζοντες, τοῦ κρείττονος δήπουθεν μέρους νεκρουμένου· τοῦ συνθέτου τοῦδε φημὶ καὶ θαυμασίου περὶ ἡμᾶς κράμματος, ἐκ τῆς πρὸς τὰ τῆδε δηλαδὴ καὶ φθορᾶς γέμοντα σχέσεως, τὴν ἔγερσιν, τὴν ἄνεσιν, τὴν εἰς οὐρανοὺς ἄνοδον· λογισμῷ τε λαμβάνοιμεν, καὶ διὰ σπουδῆς εἰς πέρας ἄγειν ποιοίμεθα. Τοιαῦθ' ὁ τοῦ νέου δημιουργὸς Ἰσραὴλ, ὁ πολλάκις ἐντυχὼν Θεῷ, καὶ θείων ὁμιλῶν πλειστάκις ἀξιωθείς· ὁ σημεῖα κατὰ Μωσῆν θεασάμενος· πλὴν ὅσον· οὗτος μέν, ἐν οὐρανῷ καὶ θειότερα· ἐκεῖνος δὲ ἐν γῇ τὰ πλείῳ καὶ τυπικώτερα. Ὁ ῥάβδον ὥσπερ τὸν τοῦ σταυροῦ τύπον ἐγχειρισθείς· καὶ τὰ μεγάλα διὰ τοῦ δε κατορθωκώς, τοιαῦτα τῷ λαῷ κυρίου νομοθετεῖ. Ἀλλὰ τὰ μὲν πρὸς ἑτέρους, οὑτωσί πως εἶχεν αὐτῷ· καὶ οὕτω πάντας καταρτίζειν πρὸς τὸ κρεῖττον ἠβούλετο. Τῶν δὲ καθ' ἑαυτὸν ὑπερεῖδε, καὶ τῆς πρὸς ἀρετὴν συντονίας ἐκ τῆς περὶ τῶν ἄλλων φροντίδος καθυφῆκε; πολλοῦ γε καὶ δή· οὐ γὰρ ὅτι γε τὰ συνήθη καὶ αὖθις ποιῶν ἦν, ἀναπέμπων ὁσημέραι Θεῷ· μᾶλλον δ' ὁσω-

[14] Ἐν τῷ Διονυσίου καὶ πρωτ., "εὐλογωτέρων."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ραι, τὸν κοινόντε καὶ ἴδιον ἱκετήριον· καὶ ὑπὲρ ἑαυτοῦ τε καὶ τῶν ὑπ' αὐτῷ τὸν θεὸν ἱλεούμενος. Ἀλλὰ καὶ νύκτας ὅλας ἄϋπνος ἴαυεν ὁ γεννάδας, ἀμέσως ἐντυγχάνων Θεῷ· καὶ μόνος μόνῳ, ὑπὲρ ὧν ἠβούλετο συγγινόμενος. Τάχα δὲ καὶ περὶ ὧν ἤθελε πυνθανόμενος, πάντῃ πως ἐλευθέρως καὶ ἀδεῶς· οὐδὲ γὰρ ἂν, δέος συγγινομένῳ τούτῳ γε ἦν· ἵνα γὰρ ἀγάπη δέος χώραν οὐκ ἴσχει· καὶ τὸ φόβος γὰρ μίσους πέφυκεν αἴτιον. Ὁ μὲν οὖν τὴν πρὸς Θεοῦ πιστευθεῖσαν καλῶς οὕτω καὶ κατὰ τὸ δοκοῦν ἐκείνῳ διεῖπεν ἀρχήν· καὶ τὰ τοῦ κράτους εὖτε καὶ ὡς ἔδει διΐθυνε· τὸν δὲ πονηρὸν, οὐκ ἦν ἠρεμεῖν· ἀλλὰ καὶ πάλιν καθ' ἡμῶν ἄγεται· καὶ πάλιν ὁ θεῖος ἀνὴρ διανίσταται· τοιοῦτος γὰρ ὁ ἐχθρὸς οὗτος· καταβαλλόμενος οὐκ αἰσχύνεται· καὶ πίπτων μᾶλλον θρασύνεται· ὅθεν καὶ πάλιν διὰ τοῦ δυστεβοῦς Λικινίου, καθ' ἡμῶν ἐγείρεται, καὶ τῶν εὐσεβῶν κατεπαίρεται. Οὗτός ἐστιν ὁ Λικίνιος, ὁ πρὸς τὸν μέγαν τοῦτον τῶν Χριστιανῶν πρόμαχον τὰ τῶν Χριστιανῶν δολίως ὑποκρινάμενος, καὶ πρὸς τὴν κατὰ τοῦ Μαξιμιανοῦ μάχην τῷ δοκεῖν συναράμενος· καὶ γὰρ συνεστρατήγησε τούτῳ, ζηλῶν δῆθεν ὑπὲρ Χριστιανῶν· καὶ ὁμόφρων εἶναι σχηματιζόμενος, τὸν καιρὸν ὡς ἀληθῶς ἐξωνούμενος· τὸν γὰρ πρὸς χριστὸν αὐτοῦ πόθον διεγνωκὼς, τὸν ὑπὲρ τῶν ἐπωνύμων Χριστοῦ ζῆλον, ἐδεδοίκει· ἀδελφὴν ἔτυχεν εἰληφὼς τοῦ βασιλέως εἰς γαμετήν· ἀξιόλογάτε τῆς συνεκστρατείας δῶρα ἀπείληφε, κλίματα ὅλα· θαυμάσια, οἷα· Τάτε δὴ περὶ τὴν Νικομήδους, καὶ τὴν κατὰ Θρᾴκην Ἡράκλειαν· καὶ[15] τὸ μεῖζον, καὶ ταινίαν βασιλικήν· ὅρκους ἀπαιτηθεὶς καὶ συνθέμενος· ἢ μὴν μηδέποτε μελετῆσαι κατὰ Χριστιανῶν, ὃ καὶ μέχρι τινὸς στέργειν ἔδοξεν. Ἀλλ' ἡ γαλὴ τοῦ κροκωτοῦ ἐπελάθετο· καὶ ὁ λύκος, τὸ τοῦ μύθου, τὴν δορὰν ἀπεβάλετο· βραχὺ γὰρ ἠρεμήσας καὶ ὅσων τῷ φόβῳ κατείχετο, ἐκρήσσει τὴν τῆς κακίας ὠδῖνα καὶ πρὸς μὲν διωγμὸν προφανῆ τὰ πρῶτα οὐχὶ χωρεῖ· ἐδεδίει γὰρ τὸν μέγαν τὴν ἀνδρείαν, τὸν μέγαν τὴν σύνεσιν, καὶ δι' ἄμφω ὁμοῦ μέγιστον, ἔτι πλησιαίτερον διατρίβοντα. Ἄλλον ἀλλαχόθι οὐκ ἠμέλει κακοποιῶν· τὸν μὲν τούτου· τὸν δ' ἐκείνου καταιτιώμενος· κατὰ μικρὸν δέπως οἰστρηλατούμενος ὑπὸ τοῦ τῆς ἀληθείας ἐχθροῦ, καὶ εἰς φανερὰν τῶν, ὅσοι τὸν Χριστὸν

[15] Ἐν τῷ του Πρωτ. ἄνευ συνδέσμου, "τὸ μεῖζον."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ὡμολόγουν τιμωρίαν, χωρεῖ· Ἀλλ' οὐκ ἔλαθέ σε ταῦτα ποιῶν· καὶ οὕτω κατὰ χριστιανῶν μελετῶν ᾧ γέ σοι τὰ τῶν χριστιανῶν πρὸς αὐτοῦ ἐπιτετράφθαι τοῦ Χριστοῦ, καὶ ᾧ τόσα τουτωνὶ μέμηλεν· ὡς ἂν, τὰ τῶν ἐκτὸς εἰς εὔκαιρον παραδῷ· καὶ γοῦν, ὦ τοῦ μὴ τὴν τῶν ἁμαρτωλῶν ἀπώλειαν ἐθέλοντος μιμητὰ, γράφεις, νουθετεῖς, ὑποτίθεσαι, τῆς κακίστης ταύτης ἐγχειρήσεως ἀποσχέσθαι. Τοῦτο μὲν ἀναμιμνήσκων, τῶν πρὸς σὲ συνθηκῶν· τοῦτο δὲ τῆς ἐκ μακροῦ συνηθείας, καὶ τοῦ κήδους, καὶ τοῦ ἐκ τοῦ κήδους φίλτρου· καὶ ὡς φιλῶν συμβουλεύεις τῷ δε τὰ λώονα, τῆς κατὰ Χριστοῦ μανίας ἐκστῆναι· καὶ τὸ συνοῖσον ἑαυτῷ σκέψασθαι· πρὸς δὲ, καὶ βασιλικῶς ἀπειλῶν, ὡς καὶ τὸ τῆς ψυχῆς ἀνδρεῖον ἀνεζωπύρει· καὶ ὁ θερμὸς ὑπὲρ Χριστοῦ ζῆλος ἀνέφλεγε· τὰ, καὶ τὰ πείσεσθαι· δηλῶν τὰ βαρύτατα, εἰμὴ παραυτὰ τῆς κακίας ἀπαλλαγείη καὶ στέρξειεν ἅπερ δήσοι συνέθετο. Ἀλλ' οὐ δυνατὸν ὀρθὰ βαδίζειν τὸν καρκῖνον μεταμαθεῖν· οὐδ' ἀμεῖψαι τὴν χροιὰν σμηχόμενον τὸν αἰθίοπα· οὔκουν οὐδὲ Λικίνιον[16] τῆς κατὰ Χριστοῦ μανίας μεταβαλεῖν· ὅθεν ἑαυτῷ, τὸν μέγαν τοῦτον ἀγωνιστήν τε καὶ πρόμαχον τῆς ἀληθείας ἐκ πολεμοῖ. Καὶ δὴ συναγηοχὼς τὰ στρατεύματα, τριήρεώντε πλήσας τὴν θάλασσαν, περίπου τὴν τῶν Βιθυνῶν, ξυῤῥήγνησι πόλεμον· καὶ κατακράτος νικᾷ τὸν ἀλάστορα· Ἀλλ' ὁ ἀγαθὸς, οὐδὲν ἄλλο πλὴν ἀγαθὸς· ὡς καὶ τοὐναντίον ἔστιν ἰδεῖν· τὸν κακὸν, οὐδὲν ἢ πάντως κακόν. Ὁ μὲν γὰρ τὴν ζωὴν αὐτῷ χαρισάμενος, ἀνὰ τὴν προκαθημένην τῶν Θετταλῶν·[17] Θεσσαλονίκην καλεῖν αὐτὴν σύνηθες, διατρίβειν ἀνιήσιν· Ὅδ' οὐδὲ οὕτω τῆς κακουργίας ὑφίησιν· Ἀλλ' ὅτι γε συχνὸν μισθοῦται βαρβαρικὸν, καὶ κατὰ τοῦ εὐεργέτου παρασκευάζεται. Τί δ' ὁ ἅπαξ οὗτος ὑπὸ θεοῦ σοφισθεὶς· τοῦ δρασσομένου τοὺς τὴν κακίαν σοφοὺς, ταῖς σφετέραις αὐτῶν πανουργίαις καὶ τοῖς τεχνάσμασι· καὶ τύποις ἵν' οὕτως εἴπω τοῖς ἐκείνου, ὅπη γε προσῆκε μακροθυμίας καὶ δικαίας αὖθις, ἵνα δέον ὀργῆς τῆς ἐνθάδε καταπεμφθεὶς· φθάνει καλῶς τὰ τῆς ῥαδιουργίας ξυνεὶς, καὶ δῆλα τάδε ποιεῖ τοῖς φιλοῦσιν αὐτὸν· μᾶλλον δὲ τἀγαθὸν· καὶ δι' αὐτὸ δὴ τοῦτο, ἐξόχως τουτονὶ στέργουσι· καὶ οἱ ζήλου

[16] Πρωτ. διὰ δύω νν, "Λικίννιον."  [17] Πρωτ., "τῶν Μακεδόνων."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



πλησθέντες εὐθὺς καὶ ἀκατασχέτου θυμοῦ, τὸ κακὸν τῆς καλῆς[18] ἀρχῆς ζιζάνιον ἀποκρίνουσιν· Ἔνθεν δὴ καὶ ἀνθεῖ τὰ τῶν Χριστιανῶν, καὶ τὰ τῆς ἀληθείας ἁπανταχόθι παῤῥησιάζεται· τυράννου παντὸς ἐκ ποδῶν γενομένου· καὶ τῶν τὰ ἡμέτερα ἀθετούντων περιαρεθέντων ἑκασταχόθεν· καὶ τῆς ὀρθῆς ὁμολογίας ἡλίου δίκην μεσημβρινά τε οὕτω φάναι καὶ ἀνεφέλιστα, διαυγάζειν μετεωρισθείσης τὰ πέρατα. Ἀλλ' οὐδὲ τὸ πάρεργον τοῦ βασιλέως παραδραμεῖν ἄξιον· πάρεργον δέ φημι ὡς μόνα ἐκείνου ἔργα ἑαυτοῦ κρίνοντος, ὅσα γε κατὰ θεὸν αὐτῷ καὶ ὑπὲρ θεοῦ διηνύετο. Ἀλλὰ καὶ τό δ' εἰ τῷ λόγῳ προσχεῖν ἐθελήσει τις, οὐ πάμπαν εὑρήσει σκοποῦ τοῦ κατὰ Θεὸν ἄμοιρον. Βύζας ἀνὴρ ἀρχαῖος· ὡς δ' ἱστορία παρέδωκε καὶ τῶν οὐκ ἀνωνύμων γενόμενος· λόγος δ' αἱρεῖ καὶ σύγχρονον αὐτὸν γεγονέναι τῷ τῶν Ἰουδαίων βασιλεύσαντι Μανασσῇ. Βύζας οὖν οὗτος πολίχνιον ἐγείρει παρ' αὐτό που τὸ τῆς οἰκουμένης ἐξαίρετον τῆς ὑφ' ἥλιον· ὅτι τε ὂν ἐν ἀπόπτῳ δι' ἡμέρας ὅλης ἀπολαύει φωτός· τοῦ καλλίστου τῶν ἁπάντων ὡς ὁ τῶν ὅλων δημιουργὸς παράγων εὐθὺς ἀπεφήνατο. Καὶ ὅτι μίξις τῇδε πελαγῶν διαζωνύντων τὴν ἤπειρον· τοῦ πολυθρυλλήτου τέ φημι Πόντου, εἰς ὃν ἐμβάλλουσιν, Ἴστρος, Βορυσθένης, Θερμώδων, Ἅλυς, Φάσις, Ὕπανις, Τάναϊς. Ποταμοὶ μόνῳ τὸ ἀποῤῥεῖν τε καὶ πίνεσθαι διενηνοχότες τῶν θαλασσῶν· τὰ δ' εἰς θέαν, πλάτει[19] μεγέθει, οὐ δὲν ἢ μικρὸν διαφέροντες· ἐῶ γὰρ πλείστους ἄλλους ὀνομαστοὺς ποταμῶν· ἄλλον ἄλλοθεν ῥέοντας, καὶ περὶ τὸν Εὔξεινον ἐπειγομένους ὥσπερ ἐπαναπαύεσθαι· καί γε τοῦ Αἰγαίου, ὃν κοσμοῦσι μὲν νῆσοι, κοσμοῦσι δὲ ἤπειροι, τῆς οἰκουμένης εἰληχυῖαι τὸ εὔκρατον· οὐκ ἀέρος μόνον καὶ τῶν ὡρῶν, ἀλλὰ καὶ ἠθῶν αὐτῶν καὶ ψυχικῶν καταστάσεων· καὶ τόποι γὰρ καὶ τόπων ὡς ἔγνωμεν ἰδιότητες· ταῖς τῶν ψυχῶν τε καὶ σωμάτων διαθέσεσι, τὰ μεγάλα συμβάλλονται. Οἱ μὲν γὰρ εἰς ἄκρον τούτων θερμοὶ, ξηροτέρους ἂν καὶ ὀξυτέρους καθιστᾶν δύναιντο· οὐχ ἧττον δὲ καὶ ὀργίλους· τὸ γὰρ δὴ ψυχὴ ξηρὴ, σοφὴ, ἐπ' ἄλλῳ μοι δοκεῖν εἴρηται, καὶ ἐπ' ἄλλῳ τοῖς ἐσύστερον εἴληπται. Τί τοῦτο;

[18] Ἐν τῷ τοῦ Πρωτ. κώδ., "τῆς κακῆς ἀρχῆς."

[19] Ἐν τῷ τοῦ Διονυσίου κώδ., "πλάττει."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τὸ ἀπεσκληκότως πρὸς τὰς ἡδονὰς ἔχειν, καὶ μὴ τὸν ὑγρὸν διώκειν βίον καὶ ἔκλυτον· ὃς ταῖς χθονιωτέραις τῶν ἡδονῶν καταβαπτίζειν φιλεῖ, τὸν αἰθέριον ἀληθῶς καὶ ὑπέρτερον τῶν ἐνθαδὶ νοῦν· καὶ ἐπιεικῶς ἀμβλύνει τὴν κατὰ φύσιν ἐνέργειαν· Καί γε αὖθις οἱ κάθυγροι, βραδυτέρους ἂν ἀπογεννῷεν καὶ ναρκώδεις καὶ ἀσθενεστέρους ὡς ἐπίπαν ὑψηλοτέρας θεωρίας καὶ κρείττονος. Ἀλλ' οἱ μὲν παρ' ἑκάτερα τῶν οὓς ὁ περιλάλητος Αἰγαῖος συνάπτει δεδυστυχηκότες οἰκεῖν· Τοιαῦτα δήπουθεν πάσχουσι καὶ οὗτοί τινες καθεστήκασιν. Οἱ δὲ τὰ παρ' ἀμφοῖν τε καὶ ἐν ἀμφοῖν ἐκ πεφευγότες ἀνιαρὰ ἑκατέρωθεν ἀφιστάμενοι καὶ προσιόντες αὐτοῖς ἑκατέρωθεν· εἰληχότες αὐτὴν τὴν παρ' ἀμφοῖν ὑπερβάλλοντα συγκεράσασαν· εὔκρατον οὖσαν τε καὶ καλουμένην, οὗτοι ἂν καὶ οὐκ ἄλλοι ἀκούοιεν προσηκόντως εὐδαίμονες. Πρὸς τούτων μὲν τὸ ὀξὺ· πρὸς ἐκείνων δὲ τὸ καθεστηκὸς ὥς περ ἐρανιζόμενοι· καὶ ἐξ ἀμφοῖν καὶ δι' ἀμφοῖν εὐστάθειαν ἤθους παρακερδαίνοντες. Ἀλλὰ τίμε δεῖ ἐς τοσοῦτον τοῖς τοιούτοις ἐνδιατρίβειν· παρ' αὐτήν γε τὴν μίξιν τῶν θαλασσῶν καὶ τῶν ἠπείρων εἴποιτις ἄν, τὴν φιλίσπιν[20] καὶ περίπτυξιν, Ἀσίας λέγω καὶ τῆς Εὐρώπης· ὡς γὰρ διὰ προαγωγοῦ τινος, ἢ καὶ προμνηστρίας δεξιᾶς τῆς θαλάσσης, ἀλλήλας ἐνθαδὶ κατασπάζονται. Κᾀντεῦθεν ἀρχόμεναι πρὸς τὰ οἰκεῖα ἑκάτερα, φιλοχωρεῖ καὶ πλατύνεται. Τῇ δὲ γοῦν τῆς οἰκουμένης, πόλιν ὁμώνυμον ὁ Βύζας ἀνήγειρεν, ἣν ἄλλοι μὲν ἄλλως ᾤκισαν· οἱ μὲν γὰρ αὐτῶν πειρατικῶς ἔζησαν, καὶ τὴν δίοδον παντελῶς τοῖς τε καταπλέουσι, τοῖς τ' ἀναπλέουσι διετείχισαν· καὶ ὅπερ ὁ ἐκ Σταγείρας εἰρήκει, λόγοις ἴσως κατακολουθῶν φύσεως, ἐν ἀπείρῳ τοῦ χρόνου τοῦ τ' ἐκβήσεσθαι φαντασθεὶς· τὸ διαζευχθῆναι τὰ πελάγη, τῇ κατὰ μικρὸν ἐκ τῆς τῶν εἰσρεόντων προσχώσεως, ἠπειρώσει τοῦ συνάπτοντως τῇ δε πορθμοῦ, τοῦτ' ἄντικρυς αὐτοὶ πεποιήκεσαν· παντελῶς τὴν παρὰ θατέρου πρὸς θάτερον ἐπιμιξίαν διακωλύσαντες. Ἀλλ' οἱ μὲν, οὕτως ἔσχον βίου τε καὶ τρόπου, πάντῃ πως ἀποτρόπαιοι τοῖς τὸν διὰ θαλάσσης μετιοῦσι βίον· μᾶλλον, ἢ Σκύλλα τοῖς τὸν Σικελιώτην πορθμὸν διαπλέουσιν· οἵ δ' ὑπόφοροι Μακεδόσι δεινῶς καταστρατηγη-

[20] Ἐν τῷ τοῦ Πρωτ. κωδ., "φιλίππην."



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



θέντες, ἐγένοντο· καί γε τοῖς Ἕλλησιν Ἀθηναίων ἡγησαμένων, ἄλλοι γοῦν ἄλλως καθάπαξ ἐβίωσαν. Οἱ δ' ἐπὶ τοῦ θείου τοῦ δε βασιλέως τὴν πόλιν ταύτην οἰκοῦντες, βαρβαρικώτερον διῆγον· τὴν ὑποταγὴν ἀναινούμενοι, τὴν εὐνομίαν οὐ φέροντες· καὶ ὅλως ἔκφυλοί τινες ἐτύγχανον ἄνθρωποι· πρὸς οὓς ὁ βασιλεὺς στέλλει, προστάσσων τῆς ἀπονοίας ἐκστῆναι· καὶ ὑποκύψαντες τῷ κράτει, τῷ τῆς ἀρχῆς πληρώματι συνελθεῖν, καὶ τῇ ὁλομελείᾳ τοῦ παντὸς συναφθῆναι· οἵ δ' οὐδὲ ὦτα δοῦναι τοῖς λόγοις θελήσαντες, ἑαυτοῖς τε τοῦτον ἐκπολεμοῦσι, καὶ πρὸς πόλεμον σφᾶς εὐτρεπίζουσιν· ὁ δὲ καὶ γὰρ ἔτυχεν ἀνεὶς πρὸ μικροῦ τὰ στρατεύματα, χρείας ἄλλοσε μετακαλούσης· οἱ γὰρ Πέρσαι τῇ δε τοῦ βασιλέως ἐνασχοληθέντος τῶν ἐγγυτέρω καὶ παρ' αὐτοῖς κατετόλμησαν, μετ' ὀλίγων πάνυ· καὶ ὅσοι γέ οἱ συμπαραμεῖναι εἵλοντο εὑρεθεὶς, μηδὲν μελήσας, φθάνει παρὰ τούτους γενόμενος. Ἐπεὶ δὲ οὗτοι πρὸς μάχην ἔτυχον εὐτρεπεῖς, συῤῥαγέντος τοῦ πολέμου, συχνοὺς ὁ βασιλεὺς ἀποβάλλεται· ἐφ' οἷς δὴ καὶ σκηθρωπάζει ὁ συμπαθεὶς ᾀεὶ κηδεμὼν, ἀδημονεῖ ἀπαράκλητα· ὡς δὲ καὶ αὖθις συμβαλὼν ἥττηται, τῇ λύπῃ κατάκρας ἑαλωκὼς, ἠκηδίασε τῷ πνεύματι καὶ ἀνέπεσε. Καὶ Δαυῒδ γὰρ τὰ παραπλήσια δήπως πεπονθέναι μαρτύρεται· Ἀλλὰ καὶ πάλιν ὁ φιλῶν Θεὸς ἐπιφαίνεται· καὶ ἀξίᾳ τῇ παρακλήσει παρακαλεῖ. Τίς ἡ παράκλησις; ὁ τίμιος αὐτοῦ Σταυρὸς, δι' οὗ τὸ μέγα τρόπαιον κατὰ τοῦ Σατᾶν αὐτὸς ἀνέστησε· καὶ δι' οὗ πρὸ μικροῦ τὴν κατὰ τοῦ Μαξεντίου τῷ δε νίκην ὑπέγραψεν· ἄλλας τε ὧν ὀλίγας ἐκ πολλῶν ὁ λόγος φθάσας ἐδήλωσεν, ὃν καὶ νῦν διατυπώσας ἀνέδειξεν εἰς ἀναψυχήν· ἑσπέρα γὰρ ἧκε μετὰ τὴν τῆς μάχης πανημέριον ξυμβολήν· καὶ οἱ μὲν ἄλλοι, κόπῳ βεβαρηκότες ἦσαν. Τὸν δὲ μέγαν τοῦτον ἀληθῶς νοῦν καὶ θεῖον ὡς ἀληθῶς βουληφόρον, ὕπνος νήδυμος οὐκ ἔσχεν ἵν' ἐπ' ἀληθέσι ταῖς ὑποθέσεσι[21] τοῖς τῶν θύραθεν εὐφυῶς χρήσωμαι· Καὶ γοῦν ἀναβλέψας εἰς οὐρανοὺς, καὶ ἐξ ἁγίου αὐτοῦ κατοικητηρίου τὸν θεὸν ἐπικαλεσάμενος, ὁρᾷ τεραστίων θαυμασιώτερα, καὶ θαυμασίων τερατωδέστερα.

[21] Οὕτως ἐν τοῖς κώδηκι Δυον. καὶ Πρωτ. ἐν δὲ τῷ ἡμετέρῳ, " οὐκ ἴσχυσεν ἵνα τοῖς τῶν θύραθεν εὐφυῶς χρήσωμαι."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



γράμματα, τί με δεῖ λέγειν ὡς θεοχάρακτα· αὐτὰ γὰρ οἷά τε καὶ ὅθεν δηλώσειε· γράμματα δ' οὖν, ἄστρασι διατυπωθέντα, καὶ τοιαῦτ' ἄττα ὑπαγορεύοντα· "Ἐν ἡμέρᾳ θλίψεως ἐπικάλεσαι, καὶ ἐξελοῦμαί σε καὶ δοξάσεις με." Ὡς δὲ δὴ καὶ γέγονεν ἑαυτοῦ· τῷ παραδόξῳ πρὸς βραχὺ τοῦ πράγματος θαμβηθεὶς, καὶ ἦρε τοὺς ὀφθαλμοὺς εἰς τὰ ἄνω, ὅθεν καὶ ἥξειν αὐτῷ τὴν βοήθειαν ἤλπιζεν· ἄστρασι διακεχαραγμένον τὸν τοῦ σωτηρίου τύπον ἑωράκει σταυροῦ, μετ' ἐπιγράμματος οὑτωσί πως αὐτῷ λέγοντος· "Ἐν τούτῳ νίκα σου τοὺς ἐχθρούς." Καὶ ὃς αὐτίκα συνεὶς ὡς εἰσηγεῖται προβαλέσθαι τὸν ἐν πολλοῖς καὶ πολλάκις αὐτῷ συναράμενον· τὸν σεβάσμιον δηλονότι Σταυρὸν, τῇ ὑστεραίᾳ τοῖς βυζαντίας ξυμβάλλει, τὸν Σταυρὸν ὁδηγὸν προβαλλόμενος· Καὶ ὢ τῆς τοῦ Σταυροῦ καθ' ὁρατῶντε καὶ ἀοράτων ἐχθρῶν δυνάμεως· οἱ τέως θρασεῖς τρέπονται, οἱ ἀκαταγώνιστοι καταβάλλονται· καὶ τὸ ἐρυμνότατον Βυζάντιον ὀχυρότητί τε αὐτοφυεῖ καὶ ὅση γε ἀπὸ τέχνης, ἁλίσκεται· καὶ παιδεύεται πειθαρχεῖν καὶ τοῖς λοιποῖς συνυπείκειν διδάσκεται· ὡς καὶ βασιλικῆς συναπολαύειν ἔχοι προνοίας· καὶ βίον διάγοι κατὰ τὴν ἀποστολικὴν εἰσήγησιν, ἤρεμον καὶ ἡσύχιον. Τοιαῦτα τοῦ βασιλέως τὰ πάρεργα, ἢ μᾶλλον τοιαῦτα τὰ καθ' ὁρατῶν τε καὶ ἀοράτων ἐχθρῶν ἀριστεύματα. Ἀλλ' ἐπειδὴ τὰ τῆς εἰρήνης διέλαμπε πανταχῇ· καὶ οὐδὲν ἦν οὐδαμοῦ, ὃ καὶ εἶχεν ἀπασχολῆσαι τὸν μεγαλουργόν τε ἅμα καὶ φιλεργόν· Τυραννίδος μὲν πάσης διαλυθείσης· τῆς δ' ἀληθείας κηρυττομένης λαμπρῶς· καὶ ἀδεῶς ἁπάντων προσκυνούντων χριστόν· ἄξιόν τι μεγαλοπρεποῦς βουλῆς τε καὶ γνώμης· καὶ προσῆκον ὄντως αὐτῷ, εἰς νοῦν ἔπεισι· πρὸς ὃ δὴ καὶ Θεὸς οὐ τὰ μικρὰ δι' ἐμφανειῶν ἐκδηλωτέρων συμβάλλεται· καὶ τὰ τῆς ὀπτασίας δῆλον τοῦτο μᾶλλον ποιήσειε· πόλιν γὰρ ἐγεῖραι θεῷ ἐπὶ τῷ τῆς αὐτοῦ πανάγνου μητρὸς ὀνόματι βούλεται· ἱερούς τε προσανεγεῖραι νεὼς σκέπτεται· ὡς θεῖον οὕτως ἐρεῖν, ἐκτελεσθείη τούτῳ καὶ βασίλειον ἐνδιαίτημα. Καὶ δὴ ἐγκέκριται τουτωνὶ τόπος· καὶ ὁ τόπος, τῶν περιλαλήτων, τῶν θαυμασίων· ὁ πρὸ τῆς Ἰλίου ὡς ἐνίοις ἱστόρηται. Τὴν πολυθρύλλητον λέγω, τὴν πολυπόρθητον. Εἰσί δε οἵ φασιν ἐπὶ Χαλκηδόνος τὰ πρῶτα ποιήσασθαι τὴν ἐγχείρη-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



σιν· καὶ τάχα τῆς ἀληθείας οὐκ ἀστοχοῦσιν ἑκάτεροι· Τὰ μὲν γὰρ πρῶτα, τὴν Τροίαν ἴσως ἐνέκρινε· θεόθεν δ' ἐκεῖθεν ἀποπεμφθεὶς, τῇ Χαλκηδόνι ἐπεχείρησεν ἄν· διὰ δὲ θείας τῆς ἐπιφανείας δι' ἧς γε κἀκείνης καὶ ταύτης ἀποσχόμενος, τὴν τοῦ Βύζαντος πολύχνην τῷ τέως οὖσαν, εἰς πόλιν εὐρυάγυιαν μεταποιῆσαι προτρέπεται· καὶ γοῦν τῷ τόπῳ εὐθὺς παραγίνεται· καὶ περιελθὼν καὶ περιμετρήσας αὐτὴν κατὰ τὸν δειχθέντα τούτῳ τύπον, περιέγραψεν, ἐσχημάτισε, καὶ πολυτελῶς οἰκοδομῆσαι προσέταξεν· ὄχθους τε λεᾶναι, καὶ κοιλάδας ἀναπλῆσαι σοφῶς ὑποθέμενος. Ἀλλὰ τί με δεῖ περὶ τοῦ τόπου θέσεως τε καὶ κράσεως· περιττὸν γὰρ καὶ ἄλλως ἐπαναλαμβάνειν ἅ μοι προείρηται· περιττὸν δὲ καὶ τὰ καθ' ὑπερβολὴν ἐξαίρετα, καὶ ὅσα μόνη γε αἰσθήσει ληπτὰ, λόγοις ἐπιχειρεῖν παριστᾷν· ὡς εἴ τις ἂν οὐρανοῦ, σελήνης, ἡλίου· τῶν μοναδικῶν δὴ τούτων καὶ ὑπερτέρων, λόγοις τὸ λαμπρόν τε καὶ ὑπερέχον γνωρίσαι θελήσειε· Περιττότερον δ' ἀληθῶς ἐφ' οἷς ἐπικρίνων θεὸς ἀναπέφανται, λόγοις λαμπρύνειν ἡμᾶς ἀναγκάζεσθαι· καὶ ἃ τῶν ἄλλων αὐτὸς ὑπερτίθησι, τοῖς ἄλλοις παραβάλλειν, καὶ πειρᾶσθαι δεικνύειν αὐτῶν ὑπερφέροντα. Τί δε καὶ λέγειν οἰκοδομάς τε τὰς ἐν ταύτῃ καὶ θέατρα· ἢ ὡς τὰ πάλαι καὶ ἐξ ὅτου χρόνος καὶ διὰ χρόνου κατασκευαὶ, ἄπανθ' ὁμοῦ τὰ τῇδε λαμπρῶς ὑπερέβαλε· περιλάλητά φημι καπιτώλια, νεώς τε περιβοήτους καὶ περιφανεστάτους οἴκους, θρύλλου πιμπλῶντας τὰ πέρατα. Βραχύ τι καὶ σύντομον φθέγξομαι. Ἑπτὰ τῶν ἀπ' αἰῶνος ἔργων, θεάματα κατ' ἐξοχὴν ὠνομάσθησαν· τῶν δ' ἐν τῇ πόλει ταύτῃ γεγονότων, οὐδὲν ὃ μὴ θέαμα θεαμάτων προσηκόντως ἀκούσειεν· οὕτω τοι λαμπρὰν τὴν πόλιν καὶ τῆς ἑαυτοῦ προσωνυμίας ὄντως ἀξίαν· μᾶλλον δὲ τῆς Πανάγνου καὶ Θεομήτορος, ἧς εἰς ὄνομα καὶ ἀνήγειρεν· ὑποθημοσύνῃ τοῦ σοφίσαντος ἐκτετελέκει θεοῦ· ᾧ καὶ ἐμπαρέθετο ταύτην λίθον ἀναστήσας πορφύρεον, καὶ τὸν φιλούμενον ἐφ' ἱδρύσας Σταυρὸν, ἐπιγεγραμμένον αὐτῷ. ΣΟΙ ΧΡΙΣΤΕ Ο ΘΕΟΣ, ΤΗΝ ΠΟΛΙΝ ΤΑΥΤΗΝΙ ΠΑΡΑΤΙΘΗΜΙ. Ἀλλ' ἵνα παραδράμω τὰς Ἴστρου περαιώσεις ὑπὲρ τοῦ θείου τε καὶ ἰδίου σχοινίσματος· συχνὰ πρὸς τῶν ὑπερβορέων τε καὶ παριστρίων ἐπηρεαζομένου Σκυθῶν· τάς τε κατ' αὐτῶν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἀριστείας διὰ τῆς τοῦ συνήθους ἐπιφανείας καὶ πεφιλημένου Σταυροῦ· καλεῖ γὰρ ἡμᾶς ὁ μέγας ἆθλος αὐτοῦ, ἡ γενναία ἀντιπαράταξις· δι' οὗ τὰ μεγάλα ἠρίστευσε· καὶ δι' οὗ τὸ ἀνέμακτον ἔστησε τρόπαιον· ὁ τοῖς ἡμετέροις ἐποφθαλμίζων ἄνωθεν ἀγαθοῖς, ὁ ἀρχαίκακος Σατανᾶς, ὁ φθονήσας τῆς, διὰ χειρὸς θεοῦ πλάσεως, καὶ τῆς ἡδίστης τῶν ἀγγέλων ξυναυλίας· ὧν ἐλεεινῶς οὗτος διέζευκται, καὶ δολεραῖς ὑποκλέψας ταῖς ξυμβουλαῖς, καὶ τόσα ἐσαῦθις προξενήσας παθεῖν, οὐχ ὅπως σωματικά τε καὶ πρόσκαιρα βλάπτοντα· ἀλλ' ἤδη καὶ ψυχικὰ, καὶ ὧν τὸ δεινὸν ἀτελεύτητον. Τί γὰρ κατὰ μέρος δεῖ τραγῳδεῖν· λιμούς τε καὶ λοιμοὺς, κατακλυσμοὺς, ποντισμοὺς, πόλεων ἀναστάσεις, χωρῶν ἀνδραποδισμοὺς, ἐθνῶν ὅλων ἀφανισμούς; τὰ χείρω τούτων καὶ βλαβερώτερα· δυσσεβείας καὶ ἀθεΐας, δι' ἃ κᾀκεῖνα πάντως ἐπεχωρίασεν· Οἱ μὲν γὰρ οὐδ' εἶναι τὸ παράπαν Θεόν· βαβαὶ τῆς πλάνης σφῶν, ὑπειλήφεσαν· οἱδ' εἶναι μὲν πλείστους δ' ὁμοῦ καὶ πάθεσιν ὑποκειμένους, καὶ αὐτοῖς γε τοῖς αἰσχροτάτοις· οὗτος οὖν ὁ ἀνύστακτος τοῦ ἡμετέρου γένους πολέμιος· πάντων τούτων ἀπαλλαγέντας ἰδών· καὶ παντοίως εὐσταθοῦντας καὶ εἰρηνεύοντας, τά τε κατὰ θεὸν ὁμονοοῦντας, ἕνα ὁμολογοῦντας θεὸν τρισυπόστατον, χρόνου τε καὶ πάθους ἀνώτερον, καὶ συμφώνως αἰνοῦντας τὸν Κύριον, καὶ τοῖς κατὰ κόσμον εὖ ἔχοντας, ἐν εἰρήνῃ βαθείᾳ ζῶντας καὶ εὐθηνοῦντας, ὡς ἄν τις καὶ ηὔξατο, ἄλλόν τινα ὄφιν τὸν Ἄρειον ἐφευρίσκει· οὕτω δὴ καὶ ἐγχέας τὸν τῆς αὐτοῦ κακίας ἰόν· δῆλον ὡς δι' ἀδήλου τοῦ ψιθυρίσματος, κατὰ τῆς ὀρθῆς τε καὶ ἀληθοῦς ὁμολογίας ἀκράδαντον· φθάνει γὰρ διὰ τοῦ φιλοθέου καὶ θεοφιλοῦς βασιλέως στεῤῥῶς τε καὶ ὡς ἐχρῆν ἱδρυθὲν, μικρῷ τινι τῷ δοκεῖν· τῇ δ' ἀληθείᾳ μεγάλῳ καὶ τὰ μέγιστα βλέποντι, ἀνατρέψαι μηχανᾶται τὸ πᾶν. Καὶ δὴ τοῦ ματαιόφρονος Ἀρείου τῆς ἀληθείας ἀλλόκοτα δογματίζοντος· ἀνόμοιόν τε τῷ Πατρὶ τὸν Υἱὸν φάσκοντος· καὶ συμφρονεῖν συχνοὺς παραπείθοντος· οὗτος δὲ ἑκασταχόθεν διατάχους συλλέγει θεοφορήτους ἄνδρας καὶ σεσοφισμένους τῷ πνεύματι· δι' ὧν καὶ σὺν οἷς, λήρους τοὺς αὐτοῦ λόγους ἐλέγχει, καὶ κενὰ παριστᾷ φληναφήματα. Τὸ δὲ μεῖζον καὶ τὰ τῆς εὐσεβείας περιλαβὼν εἰς εὐσύνοπτον,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



πίστεως ὡσπερεὶ σύνθημα, καὶ σύμβολον εὐσεβείας, αὐχεῖντε ἑκάστῳ λαὶ συνεπιφέρειν ἑαυτῷ δίδωσι· τούτῳ, τί τις ἂν παραβάλοι τῶν τε πρὶν τῶν τ' εἰς αὖθις πρὸς θείων γεγονότων ἀνδρῶν. Πλάκας θεοχαράκτους τῷ Ἰσραὴλ κατήγαγε Μωϋσῆς· ἀλλ' ὀργισθεὶς, ἔῤῥιψε καὶ συνέτριψε καὶ τοῦ ἐκεῖθεν λυσιτελοῦς ἀπεστέρησε· καὶ ἃς δὲ εἰς νέωτα παραδέδωκε, σκιώδεις ἦσαν καὶ τὸ πλέον σωματικαί· οἵ τε αὖ μεταγενέστεροι ὅμοια ἐφ' ὁμοίαις ταῖς ὑποθέσεσι μεταχειρισάμενοι, τούτῳ γε εὖ ποιοῦντες ἠρκέσθησαν· καὶ ὡς ἐπὶ θεμελίῳ βεβαίως ἑδρασθέντες ἐπωκοδόμησαν· ὥστ' ἀπαράμμιλον τὸ θεῖον τοῦτ' ἔργον τοῦ φιλοθέου καὶ θεοφιλοῦς βασιλέως· καὶ τῶν ὅσα πρὸ αὐτοῦ τε καὶ μετ' αὐτὸν κατὰ θεόν τε καὶ ὑπὲρ θεοῦ διηνύσθησαν, πάνυ γε λαμπρῶς ὑπερκείμενον. Ἀλλ' οὐδὲ τοῦτό γε παραλιπεῖν δίκαιον· ἱκανῶς αὐτοῦ τὴν εἰς θεόν τε καὶ θεοῦ θεράποντας γνωρίσον πεποίθησιν· μετακαλεῖται τὸν ἱερὸν τοῦτον σύλλογον· τοὺς ἐπιγείους ἀγγέλους, τοὺς οὐρανίους ἀνθρώπους· ὧν ἔνιοι καὶ σύμβολα τῆς πρὶν καθ' ἡμῶν τυραννίδος τοῖς σώμασιν ἐπεδείκνυντο, ἃ καὶ μᾶλλον ὁ μέγας οὗτος περιεπτύσσετο, καὶ τοὺς ὀφθαλμοὺς ἐπιθεὶς κατησπάζετο· τούτων εἷς καὶ ὁ μέγας Παφνούτιος ἦν· μετακαλεῖται δ' οὖν ἐφ' ᾧ τὴν νεουργηθεῖσαν πόλιν, εὐχῆς τε καὶ εὐλογίας ἀξιῶσαι· καὶ οἱ τοῦ ἐν ἁγίοις Μητροφάνους ἡγουμένου, ὃς καὶ τὴν ταύτης προστασίαν φθάνει λαχὼν, συναπίασι καὶ συνεορτάζουσι τὰ ἐγκαίνια, καὶ Θεῷ παρατιθοῦσι τῆς τοῦ παντὸς μέχρι συντελείας, τὴν ἐκεῖθεν ἐπισκοπὴν ἐπευξάμενοι· τί δ' οὐ καὶ τοῦτο θεῖον καὶ θεοῦ ὡς ἀληθῶς κατὰ μίμησιν; εἰρηνεύειν πρὸς ἀλλήλους ἕκαστον δυσωπεῖ, καὶ τὰς κατ' ἀλλήλων διαφορὰς παριδεῖν· καὶ ἅ γε τινὲς φιλοσκώμμονες κατ' ἐπισκόπων συνθέντες ἐγγράφως αὐτῷ ἐγχειρίσαιεν, παῤῥησίᾳ πυρὶ παραδέδωκε· καὶ τοῦτο δὴ τὸ ἀξιομνημόνευτον ἐκπεφώνηκεν, ὅρκῳ βεβαιωσάμενος· "ἦ μὴν, τῇ πορφυρίδι προθύμως ἔχειν συγκαλύψαι, εἰ τῶν τινα ἐπισκόπων ἐπαυτοφόρῳ λάβοι μοιχεύοντα· καὶ τὴν αἰτίαν δεδηλωκὼς, ὡς μὴ τοὺς θεασαμένους ἔνθεν οὐ τὰ μικρὰ παραβλαβῆναι συμβαίη·" ὢ νοῦ μεγάλου καὶ θεοφορήτου, θεῖον ὄντως καὶ νόημα καὶ ἀπόφθεγμα, ὢ λόγος θείας ὄντως πλήρης, καὶ γνώσεως καὶ

Ακαδημία Αθηνών / Academy of Athens



συνέσεως· πλὴν ἀλλ᾽ ἐπὶ τοιούτοις τοὺς θείους μετακαλεσάμενος ἄνδρας· καὶ τοιαῦθ᾽ ὁμιλήσας αὐτοῖς, δώροις τε ἀφθονώτερον ἐφοδιάζει· καὶ σὺν αἰδοῖτε καὶ πόθῳ συντάσσεται σφίσι τὰ προπεμπτήρια· συχνὰ τούτων ἐπισκήψας ἑκάστῳ, ὑπὲρ τῆς κατὰ τῶν νοητῶν ἅμα καὶ αἰσθητῶν θηρῶν ἐγρηγόρσεως, καὶ παντοίας τῶν ὑπ᾽ αὐτοὺς ἐπισκοπῆς καὶ περιποιήσεως. Καὶ τοῦτο διηγήσεως οὐ παραδρομῆς ἄξιον· τῶν τινὲς τὴν δοκοῦσαν σοφίαν καὶ θύραθεν προσηόντες αὐτῷ, συνήθεις μὲν πάλαι τυγχάνοντες· τῆς δ᾽ Ἑλληνικῆς θρησκείας μεταποιούμενοι, καὶ τὰ τῆς πλάνης δεινῶς περικεύθοντες, τί, φασι, ποιῶν βασιλεῦ, τῶν Ῥωμαίων παρεκινήκεις τὰ πάτρια, ἔθητε παρεωράκεις βασίλεια, καὶ περὶ τὴν κρατοῦσαν ἀνέκαθεν θρησκείαν, τολμηρῶς ἐνεωτέρισας; Κᾀν ταῦθα μοι σκόπει τὸ περιὸν αὐτῷ τῆς συνέσεως, ἢ τῆς ἐπὶ θεῷ μᾶλλον καὶ τῇ ἀληθείᾳ πληροφορίας καὶ πίστεως· ἄγε φησι πρὸς τὸν τῶν ἄλλων διαφορώτερον· τέχνῃ τε λόγων, καὶ μεθόδῳ συλλογισμῶν, βρενθυόμενον· ἄγε δὴ καὶ εἰς λόγους ἐλθὲ· καὶ περὶ ὧν φῇς, συνδιάσκεψαι ἑνί τινι τῶν ἀσόφων τούτων, ἁλιέων μαθητῶν. Τοῦτο δὴ τὸ ὑπὸ τῶν περιττῶν τὴν ἐκτὸς σοφίαν καὶ τεχνικὴν, ἡμῖν διακωμωδούμενον, ἀφελεῖ καὶ ἀπεριέργῳ· καὶ τὰ τῆς εὐτυχίας κατ᾽ ἐκείνους ἁπλοϊκῷ. Καὶ δὴ προβάλλεται τὸν ἁγιώτατον ἐν ἐπισκόποις Ἀλέξανδρον πρὸς διάλεξιν· καὶ ὃς πᾶσαν ἄμεσον ὑπερεωρακὼς πρότασιν· ἀξιώματα δηλονότι καὶ ὑποθέσεις, θέσεις τε καὶ αἰτήματα· καὶ περιφρονηκὼς τὴν ἰσχυρὰν ἐντεῦθεν ἀπόδειξιν, ἐπὶ τῷ ὀνόματι, φησὶ, Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ, ἐπιτάττω σοι σιωπᾷν· κᾀκεῖνος εὐθὺς ἀνδριάντος ἢ σκιᾶς ἀφωνότερος ἦν· κᾀν ἡ γλῶσσα δὲ ἀργὸς τούτῳ γέγονεν, ἀλλ᾽ ἐνεργὸς διαμεμένηκεν ἡ διάνοια. Τοίνυν καὶ τῷ τῶν ἁγίων χορῷ πρόσεισι, καὶ τὴν τοῦ δεσμοῦ λῦσιν ἐξαιτεῖται τοῖς νεύμασι, καὶ προσδεχθῆναί σφισιν ἐπιζητεῖ, καὶ τὰ αὐτὰ συνομολογῆσαι ἀλαλήτοις ὡς εἰπεῖν φωναῖς ἐπαγγέλλεται. Ἀμέλει τοι καὶ προσείληπται, καὶ τοῦ τῆς γλώσσης δεσμοῦ λέλυται, καὶ πρός γε τοῦ τῆς ψυχῆς, ὑφ᾽ οὗ τῷ πονηρῷ συμπεπέδητο· Τοιαῦθ᾽ ὁ τῶν θαυμασίων θεὸς ἐκτελεῖ. Ἀλλ᾽ ἐντεῦθεν τὶ ἂν καὶ ποιήσαιμι· διπλοῖς τοῖς ἔργοις, καὶ τούτοις μεγάλοις τε καὶ λαμπροῖς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἐπιμεριζόμενος· καὶ γὰρ μετακαλεῖται με ἤδη τὰ τῆς μητρὸς αὐτῷ τελεσθέντα· μητρὸς ἧς πέρι, τὶ τὶς ἂν φαίη παροδικῶς ἄξιον· πλὴν ὅτι μήτηρ ἀξιωτάτη τοιούτου τε καὶ τηλικούτου ταῖς κατὰ θεὸν ἐνεργείαις καὶ πράξεσιν· αὕτη δι' ὀπτασίας ᾗ πάντως καὶ συνείθιστο θειοτέρας, παρὰ τὴν Ἱερουσαλὴμ γενέσθαι προτέτραπται· ἐφ' ᾧ τούς τε κατερειπωθέντας ἀνακαινίσαι νεὼς, καὶ πλείστους ἄλλους προσαναδείμασθαι· καὶ ἡ παραυτὰ τῷ ἡεῖ τά δε ἀνακαλύπτει καὶ βασιλεῖ. Ὁ δὲ φιλομήτωρ γὰρ ὢν καὶ ὅλης τῆς ἀρχῆς εἰ βουλομένη ἐκείνη γε ἦν ἀσμένως παρεχώρησεν ἄν· φθάνει ταινιώσας αὐτὴν τῷ βασιλικῷ στέμματι, καὶ μεθ' ὅτι δὴ λαμπρᾶς δορυφορίας παραπέμπει καὶ χρημάτων πλῆθος συνεκπέμπει· ὡς ἂν τὰ κατὰ σκοπὸν ἀμφοῖν μεγαλοπρεπέστερον διοικονομήσειεν. Ἀλλὰ τὶς ἂν ἀριθμήσαιτο τὰ ἐκείνης ἐκεῖσε γενομένης ἔργα, τὰ περικαλλῆ, τὰ θεάρεστα, τοὺς νεὼς, οὓς ἄλλον ἄλλοσε κατεπύκνωσεν· οὓς μὲν γὰρ ἵνα γε ὁ Σωτὴρ ἢ ἐβάδισεν, ἢ ἐδίδαξεν, ἤ τι τῶν θαυμασίων ἐνήργησεν, μεγαλοπρεπῶς ἄγαν ἀνήγειρε, καὶ ἀφθόνως ἐκόσμησεν· οὓς δ' ὅπη τις τετερατουργήκει τῶν μαθητῶν, τὸ θεῖον καταγγέλων μυστήριον· τοὺς ἱεροὺς αὖ περιβόλους, οὓς ἀναπᾶσαν τὴν Παλαιστίνην ἐδείματο· τοὺς τ' ἐπ' ὀνόματι ἑκάστου ἰδίᾳ τῶν Ἀποστόλων σηκοὺς, καί γε τὸν κοινὸν ἐφ' οὗ κεκλεισμένων τῶν θυρῶν ἐπιστὰς αὐτοῖς ὁ Σωτὴρ, τὸ χαῖρε προσείρηκε. Πλὴν ὡς τοῦ θείου ἐπιβεβήκει τόπου, πρῶτον ἔργον αὐτῇ γέγονεν, ἡ τοῦ τιμίου Σταυροῦ ζήτησις· ὃν καὶ σὺν πόνῳ εὑρίσκει πολλῷ, καὶ πίστει διακρίνει θερμῇ· τῆς γὰρ τῶν κακούργων καὶ ὁ τοῦ Κυρίου τέως συγκεχωσμένος, συνανεύρηται καὶ συνανορώρυκται· καὶ ὁ τρόπος τῆς ἐπιγνώσεως θαυμάσιος οἷος· Γυναικὶ πνεούσῃ, τὰ λοίσθια καὶ πλέον ἢ ζώσῃ τεθνηκυίᾳ· ὅσα γε ἀπὸ φυσικῆς ἰσχύος καὶ τέχνης διαγνώσεως, ἐπιτίθεται πρὸς διάπυραν· Καὶ παραυτίκα τῶν ἄλλων μηδὲν ἐνεργησάντων, ζῶσάν τε καὶ καλῶς ἔχουσαν ταύτην καθίστησι· κατὰ τὸν ἐν αὐτῷ προσηλωθέντα, καὶ τἀληθὰ κοὺμ εἰπόντα· καὶ τὴν τεθνηκυίαν ζῶσαν ἐγχειρίζεται τῷ πατρὶ, ἐπιθέσει μόνῃ ζωώσας τε καὶ ἀναῤῥώσας αὐτὴν· οὗ δὴ καὶ τέμνει μέρος ἡ μακαρία, καὶ σύν γε τοῖς ἥλοις, καὶ οὗτοι γὰρ τῷ Σταυρῷ συνανεύρηνται· ἐφ' ᾧ τῷ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



υἱεῖ καὶ βασιλεῖ διακομίσαι παρακατέσχηκε. Θήκῃ δ' ἐξ ἀργύρου τὸ λοιπὸν ἐνθεῖσα, τῷ τῶν Ἱεροσολύμων, κειμήλιον ἱερὸν ἐμπαρέθετο. Ἀλλ' ἡ μὲν, πολλά τε καὶ μεγάλα πόθῳ τῷ πρὸς χριστὸν ἐνεργήσασα, μετὰ λαμπρῶν οὕτω τῶν ἀγωγίμων ἐπάνεισι· τοῦ τμήματος δῆτα τοῦ θείου Σταυροῦ, τῶν σεβασμίων ἥλων, καὶ παραπλησίων ἑτέρων. Τί δ' ἐπὶ τούτοις ὁ μέγας οὗτος, ὁ τοῦ διὰ Σταυροῦ μυστυρίου ὑποφήτης θεόπνευστος, καὶ κήρυξ τοῦ σταυρωθέντος θερμότατος· χρυσηλάτῳ μὲν κιβωτίῳ τὸ τοῦ Σταυροῦ ξύλον ἐνθεὶς, τῷ τῆς αὐτοῦ πόλεως ἀρχιθύτῃ παρέθετο· τῶν δέ γε ἥλων, ἃ μὲν τῷ κράνει ἐνέπειρεν, ἃ δὲ τοῖς χαλινοῖς· καὶ τοῦτο γε πόθῳ τε καὶ ἀγάπῃ τῇ πρὸς Χριστὸν, ἐγκατέμιξε· Καὶ μήποτε ὑπὲρ τούτου τὸ τοῦ προφήτου φθάνει ῥηθέν. "Ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ φαμένου τὸ ἐπὶ τοῦ χαλινοῦ τοῦ βασιλέως, ἅγιον Θεῷ παντοκράτορι;" Καὶ τοῦτο δὲ μετὰ τὴν τῆς μητρὸς ἐπάνοδον, ἔργον τοῦ θείου καὶ φιλοχρίστου βασιλέως. Τρεῖς σταυροὺς κατὰ τοὺς δειχθέντας αὐτῷ τύπους ἐν διαφόροις καιροῖς, ἐκ χρυσοχάλκου ποιεῖ· καὶ τούτων ἄλλον ἀλλαχόσε μετεωρίζει τῆς πόλεως· ὧν τῷ μὲν πρώτῳ ἐπιγράφει, ΙΗΣΟΥΣ ΧΡΙΣΤΟΣ ΝΙΚΑ. Τῷ δ' ἑτέρῳ, ΘΕΙΟΣ ΣΤΑΥΡΟΣ ΚΑΙ ΣΕΒΑΣΜΙΟΣ· Τῷ δὲ λοιπῷ, ΤΟ ΝΙΚΟΣ· ἀδιορίστως, ἀπροσθέτως· τὸ κατ' αἰσθητῶν πάντως καὶ νοητῶν ἐχθρῶν, κράτος τούτου διασημαίνων τῷ ἐπιγράμματι· ὃν καὶ ἀνίκητον οἱ ἐσύστερον ἐπωνόμασαν· νοσημάτων ἀνηκέστων εὑρηκότες θεραπευτὴν, καὶ ὡς ἀληθῶς ἀλεξίκακον. Περὶ οὗ δὴ Σταυροῦ καὶ τό δε ἱστόρηται, συχνοῖς τῶν ἀξίων τὰ τοιαῦτα βλέπειν μαρτυρηθέν· καὶ ἐπιεικῶς τοῖς ἄλλοις βεβαιωθὲν, ὡς ἄγγελος τοῦ ἔτους τρὶς καθιπτάμενος, περιήει τοῦτον· ὕμνοις γεραίρων καὶ θυμιάμασιν. Ἀλλ' εἰ καθ' ἕκαστον τὰ τοῦ μεγάλου τούτου βουληθείην διεξελθεῖν ἔργα τε θεῖα καὶ βασιλικὰ κατορθώματα, συχνοῦ τε χρόνου καὶ σχολῆς τελεωτέρας δεηθήσομαι· Τάχα δ' ἂν καὶ τοῦ μετρίου παρεκβήσωμαι· καὶ ἔστι γε παρ' οἷς νόμων ἐγκωμιαστικῶν περίφρων κριθήσομαι· Τῷ τοι δὴ καὶ τῷ τοῦ βίου τέλει· μᾶλλον δὲ τῇ ἐντεῦθεν πρὸς τὰ ἐκεῖσε καὶ θείᾳ μεταστάσει καταπαύσω τὸν λόγον πολλὰ τοῖς αὐτοῦ φιλοχωροῦντα, καὶ βίᾳ ὧν παρέλιπεν



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἀφελκόμενον. Πέρσαι κατὰ τῆς τοῦ Χριστοῦ κληρονομίας ἠκούσθησαν ἐκστρατεύοντες, λύκων δίκην ὡς ἐπὶ βοσκήμασιν ὠρυόμενοι· καὶ ὁ ποιμὴν ἀληθῶς καὶ οὐ μισθωτὸς, κατ' αὐτῶν εὐθὺς ἅλλεται· συναγηοχὼς γὰρ τὰ ἑκασταχόθεν στρατεύματα, πτερωτὸς ὥσπερ παρὰ τὴν τῶν Βιθυνῶν πέφθακεν, ἄσμενος ὑπὲρ τῶν ὑπὸ χεῖρα τὴν ψυχὴν θεῖναι· καὶ πάντα δράσαι τε καὶ παθεῖν ἕτοιμος, ἢ τί τῶν τῆς Χριστοῦ κληρονομίας περιϊδεῖν. Ἀλλ' ὁ μὲν οὕτω τοῦ θείου λάχους προΐστατο· καὶ οὕτω καλῶς προὐμάχει καὶ παντὸς ἐπερχομένου δεινοῦ συντηρεῖν ἤθελε· Θεὸς δὲ τῶν μακρῶν πόνων, τῶν γενναίων ἀγώνων ἀναπαῦσαι βουλόμενος, παρὰ τὰς ἄνω φθάνει σκηνὰς μετακαλεσάμενος· καὶ γοῦν τὴν ἁγίαν τούτου ψυχὴν, χορὸς ἀγγέλων μετ' εὐφημίας παρέπεμπον· τὴν εἰς οὐρανοὺς στελλομένην, καὶ παρὰ τὸν Δεσπότην φθάσαι ἐπειγομένην· πρὸς ὃν ἐκ πλείονος ἔβλεπε καὶ ὃν διὰ παντὸς ἐφαντάζετο· Τὸ δὲ τίμιον λείψανον, τὸ μακάριον σῶμα, στρατάρχαι, χωράρχαι, καὶ φύλαρχοι, καὶ τὸ παρευρεθὲν ἅπαν ἐκεῖ δορυφορικὸν, παρὰ τὴν ἐπώνυμον καὶ μεγαλώνυμον τὴν βασιλίδα λέγω τῶν πόλεων, ὕμνοις τε καὶ ψαλμωδίαις μετακομίζουσι, καὶ σεπτῶς τοῖς ἀνακτόροις κατατιθέασιν· ἵνά γε καὶ νόσων πλείστας ἰάσεις ἐθαυματούργησε καὶ τὴν παρὰ θεῷ δόξαν ἧς ἔτυχε μεταστὰς, σαφέστατα διεδήλωσε, καὶ ἔνθα δ' εἰσαῦθις μετετέθη, μυρία ἐκτετελέκει τεράστια· ὁ ναὸς ἐστιν οὗτος ὃν εἰς δοχὴν τῶν κατὰ καιροὺς εὐσεβῶς τὸν βίον μεταλλαττόντων βασιλέων, ὁ θεῖος οὗτος ἤγειρε βασιλεύς· εἰς ὃν καὶ ὁ τῆς μητρὸς τούτῳ νεκρὸς ἐκ τῆς παλαιτέρας Ῥώμης, μετακεκόμισται καὶ τὰ εἰκότα τετίμηται. Τοιοῦτος ὁ τοῦ μεγάλου βίος· τοιαῦτα τοῦδε τὰ κατὰ Θεὸν ἔργα καὶ ἀριστεύματα· ὡς ἐξ ὧν εἰ καὶ πάνυ γε βραχέα διήλθομεν· καὶ ἃ πλεῖστα ὄντα γνῶναι παρήλθομεν. Τίνι γοῦν τῶν ἀπ' αἰῶνος αὐτῷ παραβάλοιμεν, ἢ τίς ἡμῖν ἀποχρήσειε πρὸς τὴν αὐτοῦ σύγκρισιν· ταῖς γάρ τοι βασιλικαῖς μεγαλουργίαις καὶ ἀριστίαις, ἥττους εὑρίσκω πάντας τοὺς πρὸ αὐτοῦ. Τίνας δὴ λέγω; Κῦρον οὗ χρηστὸς τὸ ἐπώνυμον, Ἀλέξανδρον τόν Φιλέλληνα, ἢ Φιλόσοφον, Ὀκτάβιον ἐκεῖνον τὸν ἐπὶ μοναρχίᾳ περιβόητον, καὶ διὰ τὸ ἐκ τῆς μοναρχίας λαμπρὸν, ἐπικληθέν τα καὶ Αὔγουστον. Ἄλλως δὲ καὶ ἀπᾶδον παντελῶς ἥγημαι, βασιλέα θεοφιλῆ καὶ φιλό-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



*θεον, καὶ Θεὸν ἐγνωκότα τῶν ὅλων δημιουργὸν, τοῖς μηδ' ὅτι Θεὸς ἐστιν ὅλως γνοῦσι συναριθμεῖν. Εἰ δὲ καὶ γνοῦσιν, ἀλλ' οὐ καλῶς· καὶ χεῖρον ἢ εἰ μηδὲ τὸ παράπαν αὐτὸν ἐφαντάσθησαν· Ἀλλ' ἐπειδὴ καὶ βασιλεὺς οὗτος καὶ σοφὸς ἐπιγνώμων Θεοῦ, καὶ θεραπευτὴς ἀξιόχρεως, φαίην δ' ἂν προσηκόντως, καὶ κῆρυξ αὐτοῦ θερμός τε καὶ διαπρύσιος· ἄγε δὴ λοιπὸν πρὸς τοὺς ἐν ἑκατέροις λαμπρῶς ὑπερέχοντας, τὰ κατ' αὐτὸν θεωρήσωμεν. Πρᾷος ὁ Δαυῒδ ἀναγέγραπται· ὅδ' οὐ τοιοῦτος καὶ ταῦτα καθ' ὑπερβολὴν πλειόνων ἄρχειν λαχών; Πόσον γὰρ τὸ τῆς Ἰουδαίας πρὸς τοσοῦτον πλάτος τῆς οἰκουμένης; Θεοπάτωρ τὸ μεῖζον, ὃ καὶ τὴν πρὸς τοὺς πρὸ αὐτοῦ τε καὶ μετ' αὐτὸν βασιλεῖς, περιφανῆ προὐξένησε τὴν ὑπεροχήν· Ἀλλὰ καὶ οὗτος υἱὸς κατὰ χάριν Θεοῦ. Φαίην δ' ἂν ἀληθῶς, καὶ πρωτότοκος. Πρῶτος γὰρ βασιλέων εἰσεποιήθη Χριστῷ, καὶ λόγον πρὸς τοὺς καθ' ἑξῆς ἐσχήκει πατρός· κλῆρον ἀφεὶς ἀγαθὸν τὴν εὐσέβειαν· κᾀκ δὴ τοῦ προσήκοντος καὶ Θεοπάτωρ τῶν τοῦ Ὑψίστου κατὰ χάριν υἱῶν καὶ Θεῶν, καὶ οὐδ' ἐντεῦθεν τοῦ κατὰ φύσιν λειπόμενος· Ἐῶ γὰρ ὡς τὰ μετὰ τὴν χάριν μακρῷ τῶν πρὶν ἐνθεώτερα καὶ ὑπέρτερα· Πλάτος τῷ Σολομῶντι σοφίας καὶ γνώσεως μεμαρτύρηται καὶ τὴν χάριν ἄνωθεν καταπεμφθῆναι τεθρύλληται· τὶ γοῦν· οὐ θεόθεν καὶ οὗτος σεσόφιστο; οὐ παραπλησίως ἐκείνῳ καρδίας ηὐχήκει πλάτος; καὶ μαρτυρεῖ τῆς οἰκουμένης εὐστάθεια, καὶ βαθεῖα πάντων εἰρήνη, ἐκ συνεχῶν τῷ τέως πολέμων καὶ στάσεων, καὶ κοινῆς τῶν ὅλων συγχύσεως, σοφῶς τούτῳ διοικονομηθεῖσα καὶ μέχρι πολλοῦ διαμείνασα· μᾶλλον δ' ἡ ἐκ πολυσχιδοῦς τῆς πλάνης βεβαιωθεῖσα πᾶσι τῆς ἀληθείας ἐπίγνωσις, καὶ θειοτέρα τις ἐπὶ γῆς, καὶ ὡς ἀληθῶς οὐρανία κατάστασις. Περὶ δὲ τοῦ βίου, τί τις ἂν φαίη, καὶ τῆς ἐξ αὐτῆς ἀρχῆς ἄχρι καὶ τελευτῆς ἀγωγῆς· οὗ χάριν καὶ συνεχῶς ἐχρημάτιζε τούτῳ Θεὸς, καὶ μέχρι τέλους αὐτῷ καὶ τοῖς αὐτοῦ ἀρεσκόμενος· Καὶ πῶς τὰ διὰ βίου Σολομῶντος τοῖς τούτου παραλληλίσειεν, ἢ τίνι τὰ πρωτεῖα χαρίσαιτο; αἰδοῖ μὲν γὰρ αὐτὸς Σολομῶντος· μᾶλλον δέ τις ἀρχαιότατος Σολομῶντος, παρίημι λέγειν νῦν εἰς ἐπήκοον· συνιδέτω δὲ ὁ βουλόμενος. Πέτρος καὶ Παῦλος τῶν τοῦ Χριστοῦ μαθητῶν πρόκριτοι· τίνα δὲ ἃ τὴν πρὸς τοὺς ἄλλους ὑπεροχὴν αὐτοῖς δέδωκε. Τῶν μὲν ἡ ἐπίγνωσις*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



καὶ ἡ πρὸ τῶν ἄλλων ἀνομολόγησις· ὅ,τε θερμὸς ὑπὲρ αὐτοῦ ζῆλος, καὶ τῆς ζωῆς αὐτῆς περιφρόνησις· τῷ, δ' ἡ ἄνωθεν κλῆσις, τὸ τῆς ψυχῆς εὐθὺς πρόθυμον, τὸ πρὸς τὸ κήρυγμα σύντονον, ἡ πρός τε ἡγεμόνας καὶ βασιλεῖς ἀντιπαράταξις, καὶ καθάπαξ οἱ γενναῖοι ἆθλοι καὶ τὰ ὑπὲρ Χριστοῦ τρόπαια. Ἀρ' οὖν οὐχὶ καὶ ὁ μέγας οὗτος τὴν ἐκεῖθεν κλῆσιν ἐδέξατο; καὶ δηλοῦσιν αἱ ὀπτασίαι καὶ αἱ ἄνωθεν ἐναργεῖς ἐπιφάνειαι· οὐ πρὸς τὰς ἐξουσίας, οὐ πρὸς τὰς ἀρχὰς ἀντιπαρετάξατο; οὐ Χριστὸν καὶ υἱὸν Θεοῦ, τῶν ἄλλων οὐχ ὅτι γε ἀμφιβόλως, ἀλλ' οὐδὲ τὸ παράπαν δεχομένων μετὰ παῤῥησίας ἀνωμολόγησε, καὶ κατὰ τῶν ἐπανισταμένων ζήλῳ τῷ ὑπὲρ αὐτοῦ τὴν μάχαιραν σπασάμενος, αὐτοῦ συναραμένου τὰ μεγάλα κατόρθωσεν; οὐ περάτων μέχρι τὸν Χριστὸν Θεὸν ἀληθινὸν ἀνεκήρυξεν; οὐχὶ καὶ ἐπ' αὐτῷ καὶ ταῖς αὐτοῦ πράξεσι τὰ τῆς ἐκκλησίας τεθεμελίωται τῷ Χριστῷ, ἧς οὔτε κατίσχυσαν Ἅ̔δου πύλαι, οὔτε μὴν κατισχύσουσιν; Ἀλλὰ τίμε δεῖ ἐξ εἰκότων παραλληλίζειν τούτοις αὐτὸν, ἐνὸν ἐκείνους αὐτοὺς μαρτυροῦντας αὐτῷ παρεισαγαγεῖν τὴν ἰσότητα· μέμνησθε γὰρ ὡς θεοῦ προκαλουμένου τοῦτον ἐπὶ τὸ βάπτισμα, αὐτοί γε καὶ οὐκ ἄλλοι τῶν Ἀποστόλων οἱ ἔξοχοι, τὰ τῆς θείας βουλῆς ἐπιστεύθησαν, καὶ οὑτωσὶ πρὸς αὐτὸν σταλέντες εἰρήκεσαν. Πάντα σοι εὖ ἴσθι τὰ κατὰ Θεὸν τέλεια· πίστις ἀκραιφνὴς, ἀγάπη διάπυρος· ἓν δέ σοι λείπεται, οὗ περ εἰ τύχοις, τῶν αὐτῶν ἂν ἡμῖν ἀξιωθήσῃ γερῶν, καὶ ἰσοστάσιος δεχθήσῃ ἐν οὐρανοῖς· οὗ δή τα καὶ ἔτυχε· τοῦ θείου λέγω βαπτίσματος. Ἰσοστάσιος οὖν ἀναμφηρίστως ὁ μέγας οὗτος τοῖς μεγάλοις τοῦ Χριστοῦ κήρυξιν, ὡς οὗτοι γε αὐτοὶ τῆς ἀληθείας οἱ μῦσται μεμαρτυρήκεσαν, οἷς καὶ νῦν τῷ Θεῷ συμπαρίσταται· Πέπεισμαι δὲ ὡς καὶ τοῦ θείου λάχου προΐσταται. Ἀλλὰ δεῦρο δὴ καὶ ἡμεῖς ὁ εὐσεβὴς ἅπας λαός· ὁ ἅπαξ μὲν τούτῳ γε πιστευθεὶς, πεπιστευμένος δὲ εἰσαεί· καὶ δι' αὐτοῦ τῷ Θεῷ προσενεχθεὶς τε, καὶ προσαγόμενος. Δεῦρο δὴ κοινὴν πρὸς αὐτὸν τὴν ἱκετηρίαν στησώμεθα· καὶ δι' αὐτοῦ καὶ σὺν αὐτῷ, Θεῷ τὸν ἱλαστήριον ἀνενέγκωμεν. Καὶ πρῶτα μὲν Θεῷ αἰτησώμεθα τὰ τῆς θείας ἡμῖν ὁμολογίας ἀπαραποίητα διασώζεσθαι, καὶ μηδεμίαν τὰς πρὸς ἀλλήλους ἐρεσχελίας χώραν κατὰ τῶν θείων ἔχειν δογμάτων· κἂν εἴτι πως ἐκ τῆς τῶν καιρῶν ἀνωμαλίας καὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τῆς τῶν πραγμάτων συγχύσεως ἐπεισέφρησεν, ἐκ ποδῶν ἡμῖν γενέσθαι, καὶ λήθης παραπεμφθῆναι μυχοῖς. Παῤῥησιασθῆναι δὲ καὶ νῦν αὖθις· τὸ ἁπλοῦν τῆς πίστεως καὶ ἀπερίεργον· καὶ πρός γε, πλατυσμὸν ὁρίων ἐξαιτησώμεθα· ὡς ἐκτεθῆναι μὲν καὶ πάλιν, ἵνα γε αὐτὸς τὰ τοῦ θείου σχοινίσματος ἔστησε. Τοὺς δὲ κύκλῳ καὶ καθ' ἡμῶν χαίνοντας, οὓς μὲν ἀναχαιτισθῆναι· οὓς δὲ καὶ τέλεον ἐξαφανισθῆναι· κᾂν τοῖς ἔνδον καὶ πρὸς ἡμᾶς αὐτοὺς, ἀφθονίαν τῶν ἀναγκαίων, καὶ ἀγάπην τὴν πρὸς ἀλλήλους, καὶ κοινὴν ὑπὲρ τῶν κοινῶν τοῦ γένους ὁμόπνοιαν. Τῶν δ' ἐνθένδε μεταστᾶσι καὶ τοῦ συνδέσμου λυθεῖσι τῆς φύσεως, τῶν ἀμπλακημάτων παρόρασιν, καὶ βασιλείας οὐρανῶν βράβευσιν. Σύ δ' ἀλλ' ἐπακούσαις ἡμῶν τῆς αἰτήσεως, καὶ πρὸς πέρας ἀγάγοις τὰ τῆς ἐφέσεως. Ναὶ ναὶ προστάτα καὶ βασιλεῦ, ναὶ πολιοῦχε καὶ πρόμαχε· Κᾀγώ σοι ὁ τῶν ἐγκωμίων τῶνδε προσαγωγεὺς, καὶ τῆς κοινῆς ἱκετηρίας προήγορος· ὃς τῇ ὁμωνυμίᾳ καὶ τῷ ἐντεῦθεν φίλτρῳ, μεγάλα ἐπὶ σοὶ καὶ τῇ σῇ προστασίᾳ θαῤῥῶ, δέομαι λιπαρῶς δέομαι, παρ' ὅλον με κυβέρνα τὸν βίον, καὶ ἀπρόσκοπα τὰ κατ' ἐμὲ διατίθει. Μετὰ δὲ τὴν τοῦ γηΐνου σκήνους ἀπόθεσιν, ἢ μᾶλλον τοῦ συναμφοτέρου διά-
ζευξιν, ἵλεών μοι θείης τὸν Κύ-
ριον, συχνὰ καὶ ἀσύγ-
γνωστα παροργι-
σαντι. Αὐτῷ
πᾶσα πρέ-
πει δόξα·
τιμὴ καὶ
μεγά-
λο-
π
ρ
έ
π
ει
α,
νῦν καὶ εἰς τοὺς
αἰῶνας,
Ἀμήν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000020868

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ